J. Ch. Minopoulou

ΘΕΟΚΛΗΤΟΥ Χ. ΜΗΝΟΠΟΥΛΟΥ,

ΤΕΩΣ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ,

ΝΥΝ ΔΕ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΜΟΝΕΜΒΑΣΙΑΣ ΚΑΙ ΣΠΑΡΤΗΣ

Enaisimos Diatribe

ΕΝΑΙΣΙΜΟΣ ΔΙΑΤΡΙΒΗ

Peri Sophiston

ΠΕΡΙ ΣΟΦΙΣΤΩΝ

ΕΠΙ ΤΕ ΠΑΡΑΒΟΛΗι ΠΑΡΑΛΛΗΛΩΝ

ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΙ ΙΜΕΡΙΟΥ ΚΑΙ ΑΡΙΣΤΕΙΔΟΥ

ΤΟΥ ΣΟΦΙΣΤΟΥ

ΚΑΙ

ΕΠΙ ΔΙΔΑΚΤΟΡΙΚΗι ΑΝΑΡΡΗΣΕΙ

Menopulos



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΛΕΞ. ΠΑΠΑΓΕΩΡΓΙΟΥ

Ὁδὸς Ὀφθαλμιατρείου ἀριθ. 3

1893

ΕΝΑΙΣΙΜΟΣ ΔΙΑΤΡΙΒΗ

ΠΕΡΙ ΣΟΦΙΣΤΩΝ

ΘΕΟΚΛΗΤΟΥ Χ. ΜΗΝΟΠΟΥΛΟΥ,

ΤΕΩΣ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ,

ΝΥΝ ΔΕ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΜΟΝΕΜΒΑΣΙΑΣ ΚΑΙ ΣΠΑΡΤΗΣ

ΕΝΑΙΣΙΜΟΣ ΔΙΑΤΡΙΒΗ

ΠΕΡΙ ΣΟΦΙΣΤΩΝ

ΕΠΙ ΤΕ ΠΑΡΑΒΟΛΗι ΠΑΡΑΛΛΗΛΩΝ

ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΙ ΙΜΕΡΙΟΥ ΚΑΙ ΑΡΙΣΤΕΙΔΟΥ

ΤΟΥ ΣΟΦΙΣΤΟΥ

ΚΑΙ

ΕΠΙ ΔΙΔΑΚΤΟΡΙΚΗι ΑΝΑΡΡΗΣΕΙ



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΛΕΞ. ΠΑΠΑΓΕΩΡΓΙΟΥ

Ὁδὸς Ὀφθαλμιατρείου ἀριθ. 8

1893

ΠΕΡΙ ΣΟΦΙΣΤΩΝ ΚΑΘΟΛΟΥ

Ὁ μὲν Αἰσχύλος (Προμ. 62 καὶ 944) σοφιστὴν ἐκάλεσε τὸν Προμηθέα, ὁ δ' Ἡρόδοτος (2, 39. 9, 34) τὸν μάντιν καὶ ἰατρὸν τῶν Ἀργείων γυναικῶν ἢ Προιτίδων Μελάμποδα, υἱὸν Ἀμυθάονος (Πινδ. πυθ. 4, 223—4), καὶ τοὺς περὶ Σόλωνα καὶ ἄλλους (1,29.2,49 καὶ 69.4,45), ἐν οἷς καὶ Πυθαγόρας (4, 95) καὶ οἱ θιασῶται Διονύσου καὶ οἱ ἐπιγενόμενοι Μελάμποδι, Ἀμφιάραος καὶ Μάντιος καὶ Πολυφείδης καὶ Θεοκλύμενος (Ὀδ. Ο, 225—286), πρὸς δὲ Ὀνομάκριτος ὁ Ὀρφικὸς καὶ Ἀρίων ὁ διθυραμβοποιός. Καὶ ὁ Εὐριπίδης (Ῥῆσ. 887—946) τοὺς περὶ Φιλήμονα καὶ Θάμυριν καὶ Ὀρφέα καὶ Μουσαῖον σοφοὺς καὶ σοφιστὰς ἀπεκάλεσεν, ὥσπερ καὶ Πίνδαρος (Ἰσθμ. 5,36) τοὺς ποιητὰς τῶν ὕμνων ἢ ἱερῶν μελῶν, τὸ παλαιὸν τῶν σοφῶν καὶ πεπαιδευμένων περὶ πᾶσαν τέχνην σοφιστῶν κατὰ Σουΐδαν ἐπικαλουμένων, καθ' ὃν ἦσαν τοιοῦτοι οὐ μόνον οἱ περὶ Μουσικὴν διατρίβοντες, ἀλλὰ καὶ οἱ μετεωροδίφαι (Ἀριστ. Νεφ. 531, 1111. Ἱππεῦσι 299) καὶ οἱ Ὁμηρικοὶ ἥρωες, οἱ τοῖς ἔργοις ἑαυτῶν ὑπερέχοντες, ἐν οἷς καὶ αὐτοὶ οἱ αὐληταὶ καθ' Ἡσύχιον. Διὸ καὶ ἐν ἀγῶνι Ἡσιόδου καὶ Ὁμήρου ἡ ὑπεροχὴ κατὰ ποίησιν σοφίας βάσανος ἐπικαλεῖται. Κατὰ δὲ Φιλόστρατον τὸν Λήμνιον παρὰ Σουΐδᾳ ἦν ἄν τις σοφός, οὐχὶ δὲ πάντα σοφιστής.

Παρὰ Σουΐδᾳ, ὡς δ' αὔτως, Ἰαχὴν ὁ Αἰγύπτιος ἐγένετο ἐν ταῖς ὀδύναις καὶ νόσοις σοφιστὴς ἄκρος, ὃς λοιμῶν ἐπιδημίας ἔσβεσε καὶ τὴν ἀμφὶ τὸν Κύνα τὸν Σείριον πρωτίστην ἐπιτολὴν καὶ ὁρμὴν τὴν ἔμπυρον ἡμέρωσε τοῦ ἀστέρος.

Καὶ κατὰ Σχολιαστὴν Ἀριστοφάνους Νεφέλαις 330 καὶ Σουΐδαν σοφιστὴς «Πλάτων γοῦν (σχολ. γὰρ οὖν) ὁ Κωμικὸς ἐν δράματι σοφισταῖς καὶ τὸν Ὀπούντιον αὐλητὴν (Σουΐδ. ποιητὴν) Βακχυλίδην εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν». Παρὰ Κλήμεντι Στρωματεῖ 1, p. 280 (320) καὶ Μαϊνέκῃ 2, 16, 2 Κρατῖνος ἐν Ἀρχιλόχοις ἢ μᾶλλον Ἀρχιλοχείοις ποιητὰς καταλέξας ἔφη οἷον σοφιστῶν σμῆνος ἀνεδιφήσατε. Καὶ παρὰ Διογένει Λαερτίῳ προοίμ. 12, p. 9 αὐτόθι τε «καὶ οἱ ποιηταὶ σοφισταί, καθὰ καὶ Κρατῖνος ἐν Ἀρχιλόχῳ τοὺς περὶ Ὅμηρον καὶ Ἡσίοδον ἐπαινῶν οὕτω καλεῖ». Καὶ παρ' Ἀθηναίῳ 11, p. 448 ὁ Φρύνιχος τὸν μουσικὸν Λάμπρον μινυρὸν ὑπερσοφιστὴν λέγει· ὡς παρ' Εὐσταθίῳ Ἰλιάδι σ. 1023, 13 καὶ Μαϊνέκῃ αὐτόθι 570,72—35» καὶ Σοφοκλῆς, φασί, τὸν κιθαρῳδὸν σοφιστὴν λέγει, καὶ τὸν ῥαψῳδὸν Εὔπολις. Καὶ Ἀναξανδρίδης σοφιστὰς καλεῖ τοὺς μουσικοὺς παρ' Ἀθηναίῳ 14,638, τάσσοντι εἰς αὐτοὺς Ἀργᾶν καὶ Τελένικον Βυζάντιον, μοχθηρῶν ᾀσμάτων μιμητάς. Καὶ ὁ Αἰσχύλος παρ' Ἀθηναίῳ 632 καὶ Μαϊνέκῃ αὐτόθι 3, σ. 168, 2» εἶτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν». Καὶ ἡ τρίτη καὶ τριακοσιοστὴ μονόστιχος γνώμη Μενάνδρου παρὰ Μαϊνέκῃ αὐτόθι 4, σ. 349 λέγει «μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός». Ἐπὶ ταύταις οὖν καὶ τοιαύταις καταχρήσεσι τῶν ἰδίων ἐπαγγελμάτων ἀπὸ τῶν Σωκρατικῶν χρόνων μέχρι τοῦ καθ' ἡμᾶς Ἑλληνισμοῦ τὸ τοῦ σοφιστοῦ ὄνομα περιέπεσεν εἰς σημασίαν κακήν, διασυρόμενον οὐ μόνον παρ' Ἀριστοφάνει, ἀλλὰ καὶ παρ' ἄλλοις κωμικοῖς τῆς μέσης

καὶ νεωτέρας κωμῳδίας, ὥσπερ πολλὰ αὐτῶν λείψανα μαρτυρεῖ παρὰ Μαϊνέκῃ σόφιστής. Οὕτως ὀνομάζονται ὑπ' αὐτῶν καὶ μάγειροι σοφισταί, τῶν ἑπτὰ σοφῶν συνθιασῶται, οἱ λεπτοὶ καὶ ἄσιτοι καὶ σύκινοι τοῦ Λυκείου καὶ Ἀκαδημίας φοιτηταί, οἱ τὰ ἔμψυχα μὴ ἐσθίοντες καὶ ἐπὶ τούτοις οἱ κατὰ τὸν κωμικὸν Ἡνίοχον ἐν Τροχίλῳ αὐτόθι 3, σ. 512, ποιήσαντα, χάριεν οἷς γιγνώσκεται τὸ πρᾶγμα τοῦ Παύσωνος· ὡς δ' ἀείποτε περὶ τοὺς κυάμους ἔσθ' οὗτος ὁ σοφιστὴς τέλος» τοὺς κυάμους ὑπερεσθίοντες. Καὶ ἐν Πρωταγόρᾳ Πλάτωνος κεφαλαίῳ ἕκτῳ σοφισταὶ κέκληνται οἱ κατάχρησιν ποιούμενοι τῆς τοῦ Καλλίου καλοκἀγαθίας καὶ τῆς οἰκίας αὐτοῦ ἀποδιωκόμενοι ὑπ' εὐνούχου τινός, ἐν ᾗ Πρωταγόρας ὁ σοφιστὴς κατελελύκει. Αὐτόθι δ' ἐν κεφαλαίῳ πέμπτῳ καὶ Σοφισταῖς, 231 Δ· τὸ τῶν σοφιστῶν ἐπάγγελμα, διδασκόντων ἐπὶ χρήμασι καὶ ἑκουσίως τοῖς λόγοις ἐπηρεαζόντων, παραβάλλεται πρὸς τὰ παρ' Ἀθηναίοις διαβεβλημένα, οἷον τὸ τῶν καπήλων καὶ ἐμπόρων, καίπερ παρὰ τοῖς πολλοῖς θαυμαζόμενον. Διὸ καὶ ὁ Αἰλιανὸς ποικίλῃ Ἱστορίᾳ 1,23 σεσημείωκε περὶ τῶν ἐν τοῖς πρώτων σοφιστῶν Γοργίου τε καὶ Πρωταγόρου ὅτι « ἐν τοῖς Ἕλλησι τοῖς πάλαι μακρᾷ τῇ δόξῃ διέπρεπε Γοργίας ὁ Λεοντῖνος ὁ Φιλολάου καὶ Πρωταγόρας Δημοκρίτου, τῇ δὲ σοφίᾳ τοσοῦτον ἐλείποντο, ὅσον ἀνδρῶν παῖδες. Ἔοικε γάρ πως ἡ δόξα μὴ πάνυ τι ἀκριβές, μήτε ὁρᾷν, μήτε ἀκούειν· ἔνθεν τοι καὶ πολλὰ σφάλλεται, καὶ τὰ μὲν καταχαρίζεται, τὰ δὲ ψεύδεται». Καὶ ὁ Ξενοφῶν ἀπομνημονεύμασι 1,6, 13 «καὶ τὴν σοφίαν ὡσαύτως τοὺς ἀργυρίου τῷ βουλομένῳ πωλοῦντας σοφιστάς, ὥσπερ πόρνους ἀποκαλοῦσιν», εἴρηκεν, ἐν ᾧ ἐπὶ καλοῦ 4, 2, 1 ὁ αὐτὸς» γράμματα πολλὰ ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, «καὶ 1,1,11 περὶ τῶν καλουμένων φυσικῶν φιλοσόφων, φησὶ Σω-

κράτην μὴ σκοπεῖν, « ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔφυ ». Καὶ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ σοφιστικῶν ἐλέγχων α΄, 2 λέγει· « ἔστι γὰρ ὁ σοφιστὴς χρηματιστὴς ἀποφαινομένης σοφίας, ἀλλ᾽ οὐκ οὔσης ». Ἐν τούτοις κυρίως σοφισταὶ ἐκαλοῦντο οἱ περὶ τὸ λεκτικὸν ἠσκημένοι τε καὶ ἀσκοῦντες, οἱ ῥητοροδιδάσκαλοι, συγγενεύοντες διὰ τῆς περὶ τοὺς λόγους εὐρυθμίας πρὸς τοὺς κατὰ Μουσικὴν σοφιστὰς καλοὺς καὶ κακούς, οἷος ὁ Θάμυρις, καὶ τραγόπους Πὰν καὶ Μαρσύας, νῦν μὲν περιορίζοντες τὴν σοφίαν εἰς ῥητορείαν τε καὶ Ῥητορικήν, ὡς πειθοῦς δημιουργὸν καὶ τὸν ἥττω λόγον κρείττω ποιοῦσαν· νῦν δὲ πρεσβεύοντες ἤτοι τὴν τῶν πάντων ῥοήν, ὥσπερ ὁ Πρωταγόρας, ἢ μηδὲν εἶναι, ὥσπερ ὁ Γοργίας· εἰ δ᾽ εἴη, ἄγνωστον εἶναι, εἰ δὲ καὶ γνωστὸν εἴη, ἀλλὰ μὴ δηλωτὸν ἄλλοις, εἰ μὴ τῇ τέχνῃ τεχνῶν, τῇ Ῥητορικῇ· νῦν δὲ μὴ τὴν ἀλήθειαν σοφιζόμενοι, τουτέστιν οἱ τῆς ἀληθινῆς σοφίας διδάσκαλοι κατὰ Σχολιαστὴν Θουκυδίδου 3,38 καὶ Κικέρωνα (Orat. 3,16) Discendi faciendique sapientiae, οὐ μόνον Ῥητορικῆς, ἀλλὰ καὶ Ἠθικῆς καὶ Πολιτικῆς. Τοιοῦτος ἦν ὁ πρῶτος τῆς Ἑλλάδος πολυΐστωρ, ὁ Ἱππίας· τοιοῦτος ὁ Πρόδικος ὁ Κεῖος, ὁ πάντων σεμνότατος, ὁ ποιητὴς τοῦ φερωνύμου μύθου Ἡρακλέους ὑπὲρ ἀρετῆς καὶ κατὰ κακίας (Ξεν. 2, 1, 21 — 34). Τοιοῦτος ἦν καὶ ὁ Θρασύμαχος ὁ Χαλκηδόνιος, μαθητὴς Ἰσοκράτους καὶ Πλάτωνος (Φαίδρῳ 275). Κατ᾽ Αἴλιον Ἀριστείδην σοφιστὴς ἄκρος ἦν καὶ αὐτὸς ὁ Σωκράτης ὑπὲρ τῶν τεττάρων 189, ὁ ἀνδρῶν ἁπάντων σοφώτατος κατὰ τὸν πρὸς Χαιρεφῶντα χρησμὸν τοῦ ἐν Δελφοῖς μαντείου. Ὁ μὲν γὰρ Πλάτων διέσυρε τοὺς σοφιστὰς ἄλλως τε καὶ διὰ τῶν διαλόγων Γοργίου τε καὶ Πρωταγόρου, ὁ δ᾽ Αἴλιος διά τε τῆς πρὸ ὀμμάτων πραγματείας καὶ διὰ δύο λόγων ἄλλων ἐνίσταται αὐ-

τῷ γενναίως. Οὗτοι ὄντως καὶ οἱ τοιοῦτοι σοφισταὶ συνετέλεσαν κατὰ τὸν σοφὸν Μύλλερον εἰς προαγωγὴν καὶ ἐντελέχειαν τοῦ προφορικοῦ λόγου, εἴπέρ τινες καὶ ἄλλοι, χρώμενοι ὅροις τεχνικοῖς καὶ ὕφει εὐρύθμῳ καὶ ἰσοκώλοις καὶ παρίσοις καὶ ὁμοιοτελεύτοις καὶ παρονομασίαις καὶ ἀντιθέσεσι καὶ ἄλλοις τοιούτοις σχήμασιν ἐμπεριβόλοις, ἐπηρεάσασι καὶ Θουκυδίδῃ καὶ Δημοσθένει καὶ Ἰσοκράτει καὶ αὐτῷ τῷ Πλάτωνι, τῷ ἀμιμήτῳ κατ' εὐφράδειαν, ὡς ἀτρύτως μελετήσαντι τὸν θεῖον Ὅμηρον. Πρὸς δὲ καὶ ἐγένοντο πρόδρομοι τῆς νεωτέρας Ἑλληνικῆς φιλολογίας, τῆς Θύραθεν καὶ Χριστιανικῆς, ἄλλως τε καὶ ὑποσκάψαντες ἐκ βάθρων τὴν Ἐθνικὴν Θρησκείαν καὶ συντελέσαντες εἰς τὴν ἀποδοχὴν τοῦ Χριστιανισμοῦ μετὰ καὶ ἄλλων φιλοσόφων καὶ τῶν Ἐλευσινίων μυστηρίων, ἐν οἷς ἐμυοῦντο κατὰ Σχέλιγγον τὴν ὕπαρξιν τοῦ ἀληθινοῦ Θεοῦ, καὶ μέλλουσαν λατρείαν πρὸς ἄγνωστον τέως καὶ ξένον Θεόν, καὶ θρησκείαν ἐντελεχῆ τε καὶ ἐνδελεχῆ.

Ὁπωσδήποτε ἀπ' Αἰσχίνου, συστήσαντος ἐν Ῥόδῳ ῥητορικὴν Σχολήν, ἐν ᾗ καὶ Κικέρων καὶ Καῖσαρ ἐδιδάχθησαν, ἐπεκράτησε παρὰ τοῖς Σχολαστικοῖς ὁ περιορισμὸς τῆς σημασίας τοῦ ὀνόματος τοῦ σοφιστοῦ, ἀμέλει, ῥητοροδιδασκάλου, οἷος ὁ Ἰσοκράτης, καὶ οἱουδήποτε πεζολόγου ἐν ὕφει ἐμπεριβόλῳ, καὶ οὐχὶ ῥήτορος ἐν κοινῷ δημηγοροῦντος, οἷος ὁ Δημοσθένης. Διόπερ Διονύσιος ὁ Ἁλικαρνασσεὺς περὶ συνθέσεως λόγου σ. 208 R οὐ μόνον τὸν Ἰσοκράτην, ἀλλὰ καὶ τὸν Πλάτωνα λέγει σοφιστήν, ὧν ὁ μὲν τὸν Πανηγυρικὸν ἐν δέκα τοὐλάχιστον ἔτεσι συνετάξατο, ὁ δὲ Πλάτων τοὺς ἑαυτοῦ διαλόγους κτενίζων καὶ βοστρυχίζων καὶ ἀναπλέκων, οὐ διέλιπεν ὀγδοήκοντα γεγονὼς ἔτη. Ὁ Βιλλοισὼν ἐν προλεγομένοις εἰς Λόγγον τὸν σοφιστὴν κατ' Ἰουγγερμάνον πρῶτος

σεσημείωκεν ὅτι ἤκμασεν ἴσως δευτέρῳ ἢ τετάρτῳ μετὰ Χριστὸν αἰῶνι καὶ οἱ σοφισταὶ ἐγένοντο ὑπὲρ Θουκυδίδην τε καὶ Δημοσθένην μιμηταὶ Πλάτωνος καὶ δὴ Θεμίστιος καὶ Συνέσιος, Φιλόστρατος, Δίων Χρυσόστομος, Πλούταρχος, Μάξιμος Τύριος, Ἰουλιανὸς καὶ πάντες οἱ μεταγενέστεροι συγγραφεῖς καὶ αὐτοὶ οἱ πατέρες τῆς Ἐκκλησίας, καὶ δὴ Χρυσόστομος καὶ Βασίλειος καὶ ὁ θεῖος Γρηγόριος ὁ Ναζιανζηνός, δρέψαντες κορυφὴν ἀρετῶν ἀπὸ πασῶν. Κατὰ γὰρ τοὺς περὶ Ἀμμώνιον καὶ Λογγῖνον αὐτόθι σελίδι ἐννάτῃ καὶ ἄλλη ὁδὸς τείνει ἐπὶ τὰ ὑψηλά, ἡ τῶν ἔμπροσθεν μεγάλων συγγραφέων καὶ ποιητῶν μίμησίς τε καὶ ζήλωσις· οὐ γὰρ μόνος Ἡρόδοτος ὁμηρικώτατος ἐγένετο, ἀλλὰ καὶ Στησίχορος ἔτι πρότερον, ὅ,τε Ἀρχίλοχος, πάντων δὲ τούτων μάλιστα ὁ Πλάτων, ἀπὸ τοῦ Ὁμηρικοῦ ἐκείνου νάματος εἰς αὐτὸν μυρίας ὅσας παρατροπὰς ἀποχετευσάμενος. Ἔστι δ' οὐ κλοπὴ τὸ πρᾶγμα, ἀλλ' ὡς ἀπὸ καλῶν ἠθῶν ἢ πλασμάτων ἢ δημιουργημάτων ἀποτύπωσις. Οὕτω καὶ Δημοσθένης οὐ μόνον Θουκυδίδην, ἀντιγράψας αὐτὸν ἑπτάκις ἢ ὀκτάκις κατά τινα ἀνέκδοτα, ἀλλὰ καὶ Πλάτωνα, ὥσπερ καὶ Κικέρων αὐτοὺς καὶ οἱ ἄλλοι Λατῖνοι συγγραφεῖς τε καὶ ποιηταὶ τοὺς οἰκείους Ἕλληνας ἐμιμήσαντο. Διόπερ ὁ Πλούταρχος Θεμιστοκλεῖ κεφαλαίῳ δευτέρῳ φησί· «Μᾶλλον οὖν ἄν τις προσέχοι τοῖς Μνησιφίλου τὸν Θεμιστοκλέα τοῦ Φρεαρίου ζηλωτὴν γενέσθαι λέγουσιν, οὔτε ῥήτορος ὄντος, οὔτε τῶν φυσικῶν κληθέντων φιλοσόφων, ἀλλὰ τὴν τότε καλουμένην σοφίαν, οὖσαν δὲ δεινότητα πολιτικήν, καὶ δραστήριον σύνεσιν, ἐπιτήδευμα πεποιημένου, καὶ διασώζοντος ὥσπερ αἵρεσιν ἐκ διαδοχῆς ἀπὸ Σόλωνος· ἣν οἱ μετὰ ταῦτα δικανικαῖς μίξαντες τέχναις, καὶ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τοὺς λόγους, σοφισταὶ προσηγορεύθησαν». Τοιοῦτοί εἰσι καὶ οἱ ἄλ-

λοι ἑπτὰ γνήσιοι ῥήτορες, πολιτικοί τε καὶ δικανικοί, οἱ παρὰ Πλουτάρχου καὶ ἐν τῷ Κανόνι παρὰ τῶν Γραμματικῶν Ἀλεξανδρείας συμπαραληφθέντες, Ἀντιφῶν ὁ Ῥαμνούσιος, υἱὸς καὶ μαθητὴς τοῦ σοφιστοῦ Σοφίλου, οὗ καὶ Ἀλκιβιάδης ἠκροάσατο, Ἀνδοκίδης καὶ Λυσίας καὶ Λυκοῦργος, Ἀθηναῖοι, Ἰσαῖος ὁ Χαλκιδεύς, Ὑπερίδης ὁ Κολυττεύς, Δείναρχος ὁ Κορίνθιος, ὧν προεξέρχουσι Δημοσθένης Παιανιεύς, Αἰσχίνης Κοθωκίδης καὶ Ἰσοκράτης ὁ Ἀθηναῖος, ὑφ' οὗ κεχωρίδαται εἰς καλοὺς καὶ κακούς· καὶ περὶ μὲν τῶν καλῶν φησι δεῖν καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν καὶ τῶν ἄλλων σοφιστῶν εἴ τι χρήσιμον εἰρήκασιν ἀναγινώσκειν (πρὸς Δημόνικον 51)· καὶ μηδένα πώποτε δυνηθῆναι μήτε τῶν ποιητῶν, μήτε τῶν σοφιστῶν ἀξίως τῶν Ἀθηναίοις πεπραγμένων εἰπεῖν (Πανηγυρικῷ 82), σοφιστὰς ἤδη καλῶν τοὺς καταλογάδην συγγράψαντας· ἐπὶ τῶν προγόνων θαυμάζεσθαι μὲν τοὺς καλουμένους σοφιστάς, καὶ δὴ Σόλωνα, καὶ ζηλοῦσθαι τοὺς συνόντας αὐτοῖς, τοὺς δὲ συκοφάντας πλείστων κακῶν αἰτίους νομίζειν (περὶ ἀντιδόσεως 313)· περὶ δὲ τῶν κακῶν πολλοὺς προσποιεῖσθαι σοφιστὰς εἶναι (Πανηγυρικῷ 3), Γοργίου καθαπτόμενος, ὡς ἑνὸς τῶν σοφιστῶν, τῶν τὴν καλλιῤῥημοσύνην μόνην θηρευόντων ἐν τῷ Ὀλυμπιακῷ αὐτοῦ λόγῳ· καὶ οὐδένα εἶναι οὕτως ὀψιμαθῆ, ὅστις οὐκ οἶδε Πρωταγόραν καὶ τοὺς κατ' ἐκεῖνον τὸν χρόνον γενομένους σοφιστάς, καὶ Γοργίαν, τὸν τολμήσαντα λέγειν ὡς οὐδὲν τῶν ὄντων ἐστὶν (Ἑλένῃ 2). Ὁ αὐτὸς μάλιστα συνέγραψε καὶ ἰδιαιτέραν πραγματείαν κατὰ τῶν πονηρῶν σοφιστῶν, ὡς καπήλων τρόπον τινὰ τῆς γνησίας Ῥητορικῆς καὶ σοφιστευόντων τε καὶ σοφιζομένων τὴν ἀλήθειαν, περὶ οὗ λόγου, οὗ πολλὰ λείπει, Γραμματικὸς ἄδηλος προεισαγήοχεν ὅτι τῶν ἄγαν τεχνικῶς γεγραμμένος ἐστίν, εἴ πέρ τις καὶ ἄλλος, καὶ

δὴ ὅτι τριχῇ λέγεται σοφιστὴς παρὰ τοῖς παλαιοῖς, φιλόσοφος ἢ σοφιζόμενος τὴν ἀλήθειαν ἢ ῥητοροδιδάσκαλος.

Ἡμεῖς δ' ἤδη περιοριζόμεθα εἰς τὰ περὶ τῶν ἀγαθῶν σοφιστῶν, τῶν ἐκτελεσάντων τὸν θεῖον ἑαυτῶν προορισμὸν πρό τε τοῦ Σωτηρίου ἔτους καὶ ἐπὶ τάδε ἐπὶ Ῥωμαίων καὶ Βυζαντινῶν Αὐτοκρατόρων μέχρι τῆς πτώσεως τῆς Κωνσταντινουπόλεως, μεθ' ἣν τὰ Οὐράνια φῶτα ἐν κοίλῳ νάρθηκι τοῦ ἀρχισοφιστοῦ Προμηθέως ἀναπαρακατετέθη κατὰ τὴν Ἰταλίαν καὶ τὴν ἄλλην Εὐρώπην διὰ τῶν Μοσχοπούλων καὶ Χαλκοκονδυλῶν καὶ Βησσαριώνων καὶ Γαζῶν καὶ Λασκάρεων. Ἐπὶ τῶν Αὐτοκρατόρων τοίνυν τὸ μὲν ὄνομα τοῦ Σοφιστοῦ κατέσχε τίτλος τίμιος εἶναι, ἡ δὲ διδασκαλία, ῥητορική τε καὶ Φιλοσοφική, δημοσίᾳ δαπάνῃ ἐγίγνετο, ἡ δ' ἕδρα τοῦ Ῥητοροδιδασκάλου θρόνος ἐκαλεῖτο. Μέτιμεν δὲ διὰ βραχέων κατὰ τὴν κατὰ στοιχεῖον τάξιν Εὐδοκίας ἢ Εὐδοξίας Μακρεμβολιτίσσης, θυγατρὸς Κωνσταντίνου τοῦ Η', καὶ συζύγου πρῶτον τοῦ Ι' Κωνσταντίνου Δούκα, καὶ ἔπειτα Διογένους Ῥωμανοῦ τοῦ Γ', συγγραψάσης τὴν Ἰωνιάν, ἤτοι λεξικὸν Μυθικόν τε καὶ Ἱστορικόν, ἐκδοθὲν ὑπὸ Βιλλοισῶνος Ἐνετίᾳ 1782· προστιθέντες τὰ κυριώτερα περὶ τῶν κυριωτέρων καὶ οἰκειοτέρων τοῦ ἡμετέρου θέματος Σοφιστῶν, οἱονεὶ μεσοζεύγματος τοῦ τε Ἐθνικοῦ καὶ Χριστιανικοῦ Ἑλληνισμοῦ καὶ τοῦ Εὐρωπαϊκοῦ πολιτισμοῦ ἀνὰ τὴν συνεχῆ καὶ μεγάλην Ἑλλάδα, καὶ σποράδα.

Δ.

«Ἀριστείδης ὁ Ῥήτωρ, Ἀδριανεύς, (Ἀδριανὴ δὲ πόλις οὐ μεγάλη ἐν Μυσοῖς τῆς νῦν Βιθυνίας), υἱὸς Εὐδαίμονος, φιλοσόφου τε καὶ Ἱστορικοῦ γενομένου. Ἀθῆναι δὲ αὐτὸν ἤσκησαν κατὰ τὴν τοῦ Ἡρώδου ἀκμὴν καὶ τὸ ἐν τῇ Ἀσίᾳ Πέργαμον, κατὰ τὴν Ἀριστοκλέους γλῶσσαν. Ἐγένετο δὲ ἐπὶ Μάρκου τοῦ Αὐτοκράτορος, τεχνικώτατος πάντων τῶν τότε Σοφιστῶν, καὶ πολὺς ἐν θεωρήμασιν· ὅθεν καὶ τοῦ σχεδιάζειν ἀπηνέχθη· τὸ γὰρ κατὰ θεωρίαν βούλεσθαι προάγειν πάντα ἀσχολεῖ τὴν γνώμην καὶ ἀπαλλάττει τοῦ ἑτοίμου. Ἀποθανεῖν δὲ τὸν Ἀριστείδην οἱ μὲν ἑξηκοντούτη, οἱ δὲ ἑβδομηκοντούτη, καίπερ νοσώδη ἐκ μειρακίου γενόμενον, καὶ τοῦ πονεῖν μὴ ἀμελήσαντα. Τὴν μὲν οὖν ἰδέαν τῆς νόσου, καὶ ὅτι τὰ νεῦρα αὐτῷ ἐπεφρίκει, ἐν ἱεροῖς βιβλίοις αὐτὸς φράζει· τὰ δὲ βιβλία ταῦτα, ἐφημερίδων ἐπέχει τινὰ αὐτῶν λόγον· αἱ δὲ ἐφημερίδες ἀγαθοὶ διδάσκαλοι τοῦ περὶ παντὸς εὖ διαλέγεσθαι». Οἷς προσθετέον ὅτι ὁ Αἴλιος Ἀριστείδης ἦν ἀντάξιος μαθητὴς Ἡρώδου τοῦ Ἀττικοῦ, ἅτε σοφιστὴς καὶ ῥήτωρ ἐν τοῖς μάλιστα εὐδόκιμος, πεφημισμένος καὶ ἐπὶ περιηγήσεσιν ἀνὰ τὴν Ἀσίαν καὶ Ἑλλάδα καὶ Ἰταλίαν καὶ Αἴγυπτον καὶ Αἰθιοπίαν. Ἐσοφίστευεν ὡς ἐπὶ τὸ πλεῖστον ἐν Σμύρνῃ καὶ διὰ τῆς εὐγλωττίας ἔπεισε Μάρκον Αὐρήλιον Ἀντωνῖνον ἀνοικοδομήσασθαι τὴν πόλιν, ὑπὸ σεισμοῦ καθαιρεθεῖσαν ὀγδόῳ καὶ ἑβδομηκοστῷ καὶ ἑκατοστῷ ἐνιαυτῷ ἀπὸ τοῦ Σωτηρίου ἔτους. Οἱ δ' εὐγνώμονες Σμυρναῖοι ἱδρύσαντο ἐπ' αὐτῷ περὶ τὸν τοῦ Ἀσκληπιοῦ βωμὸν χαλκοῦν

ἀνδριάντα, καὶ κτίτορα τῆς Σμύρνης ἀνειπόντες αὐτόν. Ὡς ῥητοροδιδάσκαλος εἵπετο μᾶλλον τοῖς παλαιοτέροις τῶν ὑποδειγμάτων, κεκτημένος μὲν δύναμιν Δημοσθενικὴν καὶ καλλονήν, ὑποκείμενος δ' ἔστιν ὅτε καὶ ταῖς ἐλλείψεσι τῶν μεταγενεστέρων σοφιστῶν. Ὁπωσδήποτε ἡ ἀρχαιότης ἡ Ἑλληνικὴ ἐθαύμαζε τὸν Ἀριστείδην τοῦ πλούτου καὶ τῆς ἀρετῆς τοῦ ὕφους τῶν πέντε καὶ πεντήκοντα λόγων ἑαυτοῦ. Ἐτελεύτησεν ἐν Σμύρνῃ ὑπερεβδομηκοντούτης, διατελέσας καὶ ἱερεὺς τοῦ ἐκεῖ Ἀσκληπιείου. Ἀλλὰ γὰρ ἔφθημεν εἰπόντες περὶ Ἀριστείδου τῶν παραλλήλων αὐτοῦ τε καὶ Ἱμερίου ἕνεκα, ὅτε καὶ τοῖς χρόνοις καὶ τῇ ἐπαγγελίᾳ, ἣν ἐπηγγειλάμεθα, Ἀθήναιος καὶ Αἰλιανὸς ἡγοῦνται, ὧν ὁ μὲν ἦν Ναυκρατίτης, Δειπνοσοφιστὴς τοὐπίκλην, συγγραφεὺς τοῦ τῶν Σοφιστῶν συμποσίου, πλήρους σοφίας καὶ ποικίλης πολυμαθείας· ὁ δὲ Κλαύδιος Αἰλιανὸς Ῥωμαῖος ἀπὸ Πραινέστου τῆς Ἰταλίας, ἀρχιερεὺς (πιθανῶς τοῦ ἐν αὐτῇ ἱεροῦ τῆς Τύχης), μελίγλωσσος ἢ μελίφθογγος ἐπικληθείς, σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ τῶν μετ' Ἀδριανὸν χρόνων κατὰ Σουΐδαν. Κατὰ δὲ Φιλόστρατον βίοις Σοφιστῶν (2, 31) ἠττίκιζεν, ὥσπερ οἱ ἐν τῇ μεσογείᾳ Ἀθηναῖοι, καίπερ πόλιν οἰκῶν ἑτέρᾳ φωνῇ χρωμένην. Ἔπειτα προσρηθεὶς Σοφιστὴς ὑπὸ τῶν χαριζομένων τὰ τοιαῦτα, οὐκ ἐπίστευσεν, οὐδ' ἐκολάκευσε τὴν ἑαυτοῦ γνώμην, οὐδ' ἐπήρθη ὑπὸ τοῦ ὀνόματος, οὕτω μεγάλου ὄντος. Ἐθαύμαζεν Ἡρώδην τὸν Ἀττικόν, ὡς ποικιλώτατον τῶν ῥητόρων, βιώσας ὑπὲρ τὰ ἑξήκοντα ἔτη καὶ οὐκ καὶ ἐπὶ παισὶ τελευτήσας. Καὶ αὐτὸς χρῆται τῷ τοῦ Σοφιστοῦ ὀνόματι ἐπὶ κακοῦ μὲν ποικίλῃ ἱστορίᾳ 2, 13 κατὰ Πρόδρομον Ἀδαμαντίου Κοραῆ, καλῶν Σοφιστὰς τοὺς περὶ Γοργίαν ὑπὸ Σωκράτους ἐλεγχομένους, ἐπὶ καλοῦ δ' αὐτόθι 41, καλῶν σοφιστὴν Κάλανον τὸν Βραχμᾶνα,

ἐφ' ᾧ 'Αλέξανδρος ὁ Μακεδὼν ἀγῶνα μουσικῆς καὶ ἱππικῶν καὶ ἀθλητῶν διέθηκεν.

Ἡ μὲν οὖν Εὐδοκία ἢ Εὐδοξία αὐτόθι ἀνέγραψεν ὅτι τρεῖς 'Ασπάσιοι σοφισταὶ ἐγένοντο, ὁ μὲν Τύριος, γράψας καὶ περὶ 'Ηπείρου καὶ περὶ τέχνης 'Ρητορικῆς· ὁ δὲ 'Ραβενναῖος, ἀκροασάμενος καὶ τοῦ Παυσανίου, χρώμενος μὲν ἐν καιρῷ εὐθέτῳ οἷς ἐγίνωσκεν, εἰς ἀπειροκαλίαν δ' οὐδαμῶς ἐκπίπτων· ὁ δὲ τρίτος Βύβλιος, σύγχρονος 'Αριστείδῃ τῷ 'Αδριανῷ, γράψας ἄλλα τε καὶ περὶ Βύβλου καὶ περὶ στάσεων 'Ρητορικῶν. 'Ο δ' 'Αφαρεὺς 'Αθηναῖος πρόγονος 'Ισοκράτους, ἀκμάσας κατὰ τὴν ἐνενηκοστὴν πέμπτην 'Ολυμπιάδα, ὅτε καὶ Πλάτων ὁ φιλόσοφος

'Αψῖναι τρεῖς φαίνονται, ὁ μὲν 'Ονασίμου τοῦ σοφιστοῦ 'Αθηναίου υἱός· ὁ δὲ Γαδαρεύς, πρεσβύτερος τοῦ 'Ονασίμου, μαθητεύσας ἐν Σμύρνῃ παρ' 'Ηρακλείδῃ τῷ Λυκίῳ, εἶτα Βασιλικῷ ἐν Νικομηδείᾳ· ἐσοφίστευσεν 'Αθήνησι, βασιλεύοντος Μαξιμιανοῦ, ὑπατικοῦ λαβὼν ἀξίωμα· ὁ δ' 'Αθηναῖος, ἀξιόλογος σοφιστής, 'Ονασίμου πατὴρ τοῦ σοφιστοῦ, τοῦ πατρὸς 'Αψίνου.

Β.

Βασιλικὸς δὲ σοφιστὴς περὶ τῶν διὰ τῶν λέξεων σχημάτων, περὶ 'Ρητορικῆς παρασκευῆς, ἤτοι περὶ ἀσκήσεως, περὶ μεταποιήσεως ἔγραψε καὶ περὶ ἄλλων πολλῶν 'Ρητορικῶν.

Γ.

Γαϊανὸς 'Αράβιος, ῥήτωρ καὶ σοφιστής, μαθητὴς 'Αψίνου τοῦ Γαδαρέως ἐπὶ Μαξίμου καὶ Γορδιανοῦ. Ἔγραψε περὶ συντάξεως βιβλία πέντε, τέχνην 'Ρητορικήν, μελέτας. 'Εσοφίστευεν ἐν Βηρυτῷ

Γενέθλιος Παλαιστῖνος, ῥήτωρ καὶ σοφιστής, ἐκ Πετρῶν, ἀντιπαιδεύσας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ, δεξιὸς τὴν φύσιν, τελευτήσας νέος ἐτῶν ὀκτὼ πρὸς τοῖς εἴκοσιν. Ἔγραψε λαλιάς, ἤτοι διαλέξεις καὶ μελέτας.

Δ.

Δαμιανὸς Ἐφέσιος σοφιστής, ἀκουστὴς Ἀριστείδου καὶ Ἀδριανοῦ, δικανικοῦ μὲν σοφιστικώτερος, σοφιστικοῦ δὲ δικανικώτερος, ἀμισθὶ δεχόμενος τοὺς ὑπερορίους τῶν μαθητῶν.

Διονύσιος ὁ Μιλήσιος σοφιστής, ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως, οὐ μεθύων πρὸς τὰς ἡδονάς, ὥσπερ ἔνιοι τῶν σοφιστῶν, λέγων πρὸς τοὺς γνωρίμους ὅτι χρὴ τοῦ μέλιτος ἄκρῳ δακτύλῳ, ἀλλὰ μὴ κοίλῃ χειρὶ γεύεσθαι. Διεξιὼν δὲ τὸν Δημοσθένη τὸν μετὰ Χαιρώνειαν θρῆνον προσαγαγόντα τῇ Βουλῇ, εἰς τήνδε τὴν μονῳδίαν τὸν λόγον ἐτελεύτησεν· ὦ Χαιρώνεια, πονηρὸν χωρίον, καὶ πάλιν αὐτομολήσασα πρὸς τοὺς βαρβάρους Βοιωτία· στενάξατε οἱ κατὰ Γῆς ἥρωες, ἐγγὺς Πλαταιῶν νενικήμεθα.

Δίων ὁ Χρυσόστομος Προυσιεύς, ἐπ᾽εὐφραδείᾳ οὕτως ἐπικληθεὶς καὶ μέγα τιμηθεὶς ὑπὸ Νέρβα καὶ Τραϊανοῦ.

Ε.

Ἐπιφάνιος Πετραῖος σοφιστής, γράψας καὶ περὶ διαφορᾶς τῶν στάσεων, προγυμνάσματα καὶ μελέτας καὶ λόγους ἐπιδεικτικούς.

Ἑλικώνιος Σοφιστὴς Βυζάντιος, γράψας καὶ χρονικὴν ἐπιτομὴν ἀπὸ τοῦ Ἀδὰμ μέχρι Θεοδοσίου τοῦ μεγάλου ἐν βιβλίοις δέκα.

« Ἑρμογένης Ταρσεύς, ὁ ἐπίκλην Ξυστήρ, σοφιστὴς ἐπι-

χολώτατος καὶ θερμότατος. Πεντεκαίδεκα ἔτη γεγονὼς ἐφ' οὕτω μέγα προὔβη τῆς τῶν σοφιστῶν δόξης, ὡς καὶ διακούειν αὐτοῦ Μάρκῳ βασιλεῖ καὶ Μουσωνίῳ τῷ φιλοσόφῳ παρασχεῖν ἔρωτα. Βαδίσαντος γοῦν ἐπὶ τὴν ἀκρόασιν αὐτοῦ τοῦ Μάρκου, ἥσθη μὲν διαλεγομένου, ἐθαύμαζε δὲ σχεδιάζοντος, δωρεὰς δὲ λαμπρὰς ἔδωκεν. Διαλεγόμενος δέ, ἰδού σοι, ἔφη, βασιλεῦ, ῥήτωρ παιδαγωγοῦ δεόμενος, ῥήτωρ ἡλικίαν περιμένων· καὶ πολλὰ ἕτερα διελέχθη. Συνεγράψατο τέχνην Ῥητορικήν, περὶ στάσεων βιβλίον ἕν, περὶ ἰδεῶν βιβλία δύο, περὶ Κοίλης Συρίας δύο. Ἀφῃρέθη δὲ τὴν ἕξιν νέος πάνυ, καὶ ὡς θρυλλοῦται (θρυλλεῖται) ἐτῶν ἦν κδ', ὑπ' οὐδεμιᾶς φανερᾶς νόσου· ὅθεν ἀστεϊσμοῦ λόγον παρέδωκε τοῖς βασκάνοις· ἔφασαν γὰρ τοὺς λόγους ἀτεχνῶς καθ' Ὅμηρον πτερόεντας εἶναι· ἀποβεβληκέναι γὰρ αὐτοὺς τὸν Ἑρμογένην, καθάπερ πτερά. Καὶ Ἀντίοχος ὁ σοφιστὴς ἀποσκώπτων ποτὲ εἰς αὐτόν, οὗτος, ἔφη, Ἑρμογένης, ὁ ἐν παισὶ μὲν γέρων, ἐν δὲ γέρουσι παῖς. Ἐτελεύτα μὲν οὖν ἐν βαθεῖ γήρᾳ, εἷς δὲ τῶν πολλῶν νομιζόμενος· κατεφρονήθη γάρ, ἀπολιπούσης αὐτὸν τῆς τέχνης».

Z.

Ζηνόβιος σοφιστής, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ.

Ζώσιμος Γαζαῖος ἢ Ἀσκαλωνίτης, σοφιστὴς κατὰ τοὺς χρόνους Ἀναστασίου. Ἔγραψε λέξιν Ῥητορικὴν κατὰ στοιχεῖον, καὶ ὑπόμνημα εἰς Δημοσθένην καὶ Λυσίαν.

H.

Ἡλιόδωροι δύο, ὧν ὁ μὲν ἦν Λαρισσαῖος, Μαθηματικός, ὁ δ' ἐξ Ἐμέσης, πόλεως Φοινίκης, ἀκμάσας ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου καὶ τῶν υἱῶν αὐτοῦ Ἀρκαδίου καὶ Ὀνωρίου καὶ διατελέσας Ἐπίσκοπος τῆς Θεσσαλικῆς Τρίκκης. Συνέ-

γραψε μυθιστορίαν ἔντεχνον καὶ Ἠθικὴν τῶν κατὰ Θεαγένην καὶ Χαρίκλειαν, Αἰθιοπικὰ καλούμενα.



Θεμίστιος, Παφλαγών, σοφιστὴς Ἐθνικὸς καὶ φιλόσοφος περιπατητικός, υἱὸς Εὐγενίου, παρ' οὗ καὶ ἐδιδάχθη τὴν φιλοσοφίαν καὶ Ἐπιστήμας. Ἐσοφίστευεν ἐν Κωνσταντινουπόλει, εὐνοηθεὶς μὲν μέγα ὑπὸ Κωνσταντίου καὶ Ἰουλιανοῦ, γενόμενος δὲ διδάσκαλος Λιβανίου καὶ Ἱεροῦ Αὐγουστίνου καὶ εὐφραδής, βασιλεὺς τοῦ λόγου ὑπὸ τοῦ φίλου Γρηγορίου τοῦ Θεολόγου ἐπικληθείς. Μέχρι Φωτίου ἐσώζοντο ἓξ καὶ τριάκοντα αὐτοῦ λόγοι, ὧν τρεῖς ἀπώλοντο.

Θεοδέκται πατὴρ καὶ υἱός, Φασηλῖται, ὧν ὁ πατὴρ ἦν ἀκουστὴς Πλάτωνος, Ἰσοκράτους, Ἀριστοτέλους.

Θεόδωροι δύο, ὧν ὁ μὲν ἦν Βυζάντιος, λογοδαίδαλος ὑπὸ Πλάτωνος κληθείς, ὁ δ' ἕτερος Γαδαρεύς, ἀπὸ δούλων διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος. Ἔγραψε περὶ δυνάμεως ῥήτορος καὶ περὶ τῶν ἐν φωναῖς ζητημάτων.

Θεοφύλακτος κατὰ Σουΐδαν, σοφιστής, ᾧ ἐπώνυμον Σιμοκάτης.

Θέωνες τέσσαρες, ὧν δύο ἀξιολογώτεροι, ὁ μὲν Ἀλεξανδρεύς, γράψας τέχνην περὶ προγυμνασμάτων καὶ ῥητορικὰς ὑποθέσεις· ὁ δ' ἕτερος Σιδώνιος, παῖς Γυμνασίου τοῦ σοφιστοῦ, παιδεύσας κατὰ τὴν πατρίδα ἐπὶ Κωνσταντίου. Περὶ δ' Ἱμερίου ἰδίᾳ ποιήσομαι τὸν λόγον ἐπὶ παραλλήλοις αὐτοῦ τε καὶ Ἀριστείδου, Δημοσθένους τε.

Ι.

Περὶ Ἰσαίου δὲ προσθετέον ὅτι κατ' Εὐδοκίαν Ἀθηναῖος ἦν τὸ γένος, μαθητὴς Ἰσοκράτους καὶ διδάσκαλος Δημοσθέ-

νους, ἐπαινούμενος οὐ μόνον ὡς ῥήτωρ, ἀλλὰ καὶ ὡς ἀμισθὶ προαγαγὼν τὸν Δημοσθένην.

Κ.

Καλλίνικος Γαΐου, Σύριος (Σύρος) ἢ Ἀράβιος ἢ μᾶλλον Πετραῖος, γράψας περὶ κακοζηλίας Ῥητορικῆς.

Κάστωρ Ῥόδιος ἢ Γαλάτης, φιλοῤῥώμαιος ἐπικληθείς.

Καικίλιος Καλαντιανός (Κάλαντις δὲ πόλις Σικελίας), σοφιστεύσας ἐν Ῥώμῃ ἀπ' Αὐγούστου ἕως Ἀδριανοῦ, Ἰουδαῖος τὴν δόξαν. Ἔγραψε κατὰ στοιχεῖον ἀποδείξεις τοῦ εἰρῆσθαι πᾶσαν λέξιν καλλιῤῥημοσύνης· πρὸς δὲ σύγκρισιν Δημοσθένους καὶ Κικέρωνος καὶ τίνι διαφέρει ὁ Ἀττικὸς ζῆλος τοῦ Ἀσιανοῦ, περὶ χαρακτῆρος τῶν δέκα ῥητόρων, σύγκρισιν Δημοσθένους καὶ Αἰσχίνου, περὶ γνησίων καὶ νόθων λόγων Δημοσθένους, περὶ τῶν εἰρημένων τοῖς Ῥήτορσι καθ' Ἱστορίαν καὶ παρ' Ἱστορίαν.

«Κόραξ ῥήτωρ, ὃν εὑρετὴν φασι τῆς Ῥητορικῆς γενέσθαι».

Κυδώνιος Δημήτριος, Θεσσαλονικεύς, σοφιστὴς τοῦ τεσσαρακαιδεκάτου μετὰ Χριστὸν αἰῶνος, καθάπερ καὶ Καμαριώτης, Κωνσταντινουπολίτης, καὶ Νικηφόρος Χοῦμος.

Λ.

Λαχάρης Λαχάρητος, Ἀθηναῖος ῥήτωρ, μαθητὴς Ἡρακλέωνος, σοφιστοῦ Ἀθηναίου, διδάσκαλος δὲ πλείστων ἐνδόξων ἀνδρῶν, Εὐσεβίου, Νικολάου, καὶ Ἀστερίου, ἀκμάσας ἐπὶ Μαρκιανοῦ καὶ Λέοντος τῶν βασιλέων. Ἔγραψε περὶ κώλου καὶ περιόδου, διαλέξεις, ἐκλογὰς Ῥητορικὰς κατὰ στοιχεῖον. Λέοντες δύο, ὧν ὁ μὲν Ἀλαβανδεύς, γράψας καὶ περὶ στάσεων, ὁ δ' ἕτερος Βυζάντιος, μαθητὴς Πλάτωνος. Λεω—

νᾶς σοφιστής, Ἴσαυρος τὸ γένος, εὐδοκιμῶν ἐν τῷ πλήθει τῶν ἐν Ἀλεξανδρείᾳ ὁμοτέχνων.

Λεσβῶναξ, Μιτυληναῖος, οὗ τῶν ἑκκαίδεκα λόγων δύο μόνον πρὸς Ἀθηναίους διεσώθησαν, ἐπὶ Αὐγούστου γεγονώς, πατὴρ τοῦ φιλοσόφου Πεάμονος.

Λιβάνιος Ἀντιοχεύς, ἐν Ἀθήναις μὲν παιδευθείς, ἐν Κωνσταντινουπόλει δὲ διδάξας· ἦν δὲ φίλος μεγάλου Βασιλείου καὶ Ἰουλιανοῦ, γράψας πλείστας Ῥητορικὰς μελέτας.

Λογγῖνος, Κάσσιος φιλόσοφος, διδάσκαλος Πορφυρίου τοῦ φιλοσόφου, πολυμαθὴς καὶ κριτικὸς γενόμενος. Ἦν δ' ἐπὶ Αὐρηλιανοῦ τοῦ Καίσαρος καὶ ἀνῃρέθη ὑπ' αὐτοῦ, ὡς σύμπνους Ζηνοβίᾳ τῇ Ὀδυμνάρου γυναικί. Ἔγραψε καὶ λέξεις Ἀντιμάχου καὶ Ἡρακλέωνος.

Λουκιανὸς Σαμοσατεὺς ἐπὶ Τραϊανοῦ Καίσαρος, τὸ πρὶν καὶ δημηγόρος ἐν Ἀντιοχείᾳ.

Μ.

Μαίωρ Ἀράβιος σοφιστής· ἔγραψε περὶ στάσεων βιβλία ιγ', συνεχρόνισεν Ἀψίνῃ καὶ Νικαγόρᾳ ἐπὶ Φιλίππου τοῦ Καίσαρος καὶ ἐπάνω.

Μάλχος, Βυζάντιος σοφιστής, ἔγραψε καὶ Ἱστορίαν ἀπὸ τοῦ βασιλέως Κωνσταντίνου ἕως Ἀναστασίου· ἐν ᾧ τὰ κατὰ Ζήνωνα καὶ Βασιλίσκον καὶ τὸν ἐμπρησμὸν τῆς Δημοσίας Βιβλιοθήκης καὶ τῶν ἀγαλμάτων τοῦ Αὐγουσταίου, καὶ ἄλλα τινὰ διεξέρχεται μάλα σεμνῶς.

Μελήσερμος Ἀθηναῖος σοφιστὴς καὶ Μένανδρος Λαοδικεύς, τῆς παρὰ Λύκῳ τῷ ποταμῷ, γράψας ὑπόμνημα εἰς τὴν Ἑρμογένους τέχνην καὶ προγυμνάσματα.

«Μητροφάνης Εὐκαρπίου τῆς Φρυγίας σοφιστής. Ἔγραψε περὶ τῆς Φρυγίας αὐτῆς βιβλία δύο, περὶ ἰδεῶν λόγων, περὶ

στάσεων, εἰς τὴν Ἑρμογένους τέχνην ὑπόμνημα, εἰς τὸν Ἀριστείδην ὑπόμνημα. Καὶ ἕτερος Μητροφάνης Κορνηλιανοῦ ῥήτορος Λεβαδεύς, πόλις δὲ Βοιωτίας ἡ Λεβάδεια, σοφιστής, περὶ τῶν χαρακτήρων Πλάτωνος ἔγραψε πάνυ καλῶς, Ξενοφῶντός τε καὶ Νικοστράτου μελέτας, λόγους πανηγυρικούς, ἄλλα».

Μινουκιανὸς Νικαγόρου τοῦ σοφιστοῦ, Ἀθηναῖος σοφιστής. Ἔγραψε τέχνην Ῥητορικὴν καὶ προγυμνάσματα καὶ λόγους διαφόρους.

Ν.

Νικαγόρας Μνησαίου ῥήτορος, Ἀθηναῖος σοφιστής· γέγονε δὲ κατὰ Φίλιππον τὸν Καίσαρα. Ἔγραψε βίους ἐλλογίμων, περὶ Κλεοπάτρας τῆς ἐν Τρωάδι· πρεσβευτικὸν πρὸς Φίλιππον τῶν Ῥωμαίων βασιλέα.

Νικόλαοι δύο, ὧν ὁ μὲν ῥήτωρ, ὁ δὲ σοφιστὴς ἐκ Μύρων Λυκίας, ἀδελφὸς Διοσκουρίδου γραμματικοῦ καὶ Ἱππάρχου καὶ Ὑπάτου Πατρικίου, σοφιστεύσας ἐν Κωνσταντινουπόλει, μαθητὴς γεγονὼς Λαχάρους. Ἔγραψε τέχνην Ῥητορικήν.

Νικόστρατος Μακεδόνων ῥήτωρ, ταχθεὶς ἐν τοῖς κριθεῖσιν ἐπὶ δευτέροις δέκα ῥήτορσι, σύγχρονος Ἀριστείδου καὶ Δίωνος τοῦ Χρυσοστόμου. Οὐλπιανός, Ἀντιοχεύς, διδάσκαλος Προαιρεσίου.

Π.

Παγκράτιος σοφιστής, ἔγραψεν ὑπόμνημα εἰς τὴν Μινουκιανοῦ τέχνην.

Παῦλος Γερμῖνος σοφιστής, ὁ γράψας ὅτι γε Λυσίου ἐστὶ τὰ περὶ τῆς Ἰφικράτους δωρεᾶς βιβλία β´, ὑπομνήματα εἰς τοὺς λοιποὺς λόγους τοῦ Λυσίου. Καὶ ἕτερος Παῦλος Αἰγύ-

πτιος σοφιστής, ἐκ τῆς Λύκων, υἱὸς Βησσαρίωνος, τοῦ καὶ Διδύμου, γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.

Παυσανίας Καισαρεὺς σοφιστής, σύγχρονος Ἀριστείδῃ· οὗ μέμνηται ὡς φαύλου ῥήτορος Φιλόστρατος ἐν τοῖς τῶν σοφιστῶν βίοις. Ἔγραψε περὶ συντάξεως βιβλίον ἕν, προβλημάτων βιβλίον ἕν.

Πολέμων Λαοδικεύς, ῥήτωρ καὶ σοφιστής, σοφιστεύσας ἐν Σμύρνῃ, διδάσκαλος Ἀριστείδου ῥήτορος. Ἦν δὲ ἐπὶ Τραϊανοῦ καὶ μετ' αὐτόν, μαθητὴς Τιμοκράτους τοῦ ἐξ Ἡρακλείας τῆς ἐν Πόντῳ φιλοσόφου, καὶ Σκοπελιανοῦ τοῦ σοφιστοῦ. Ἐτελεύτησε δὲ ἓξ καὶ πεντήκοντα ἐνιαυτῶν, ἑαυτὸν ἐν τῷ τάφω ἐμβαλὼν καὶ ἀποκαρτερήσας, διὰ τὸ συνέχεσθαι τῇ ἀρθρίτιδι νόσῳ· δι' ὃ καὶ τῶν συγγενῶν καὶ τῶν φίλων θρηνούντων, λέγεται εἰπεῖν πρὸς αὐτοὺς τὸν Πολέμωνα, δότε μοι ἕτερον σῶμα καὶ μεταβήσομαι· καὶ τοῖς ἰατροῖς δὲ ἐπὶ συχνῷ τέμνουσιν αὐτὸν ἔλεγεν, ἐκτέμνετε τὰς Πολέμωνος λατομίας ὡς τάχιστα». Οἷς προσθετέον ὅτι ὁ Ἀντώνιος Πολέμων ἐσοφίστευσεν εὐδοκίμως καὶ ἐν Ῥώμῃ, τιμηθεὶς δι' αὐτὸ μέγα ὑπὸ τῶν αὐτοκρατόρων Τραϊανοῦ, Ἀδριανοῦ καὶ Ἀντωνίνου τοῦ εὐσεβοῦς.

Πολυδεύκης Ναυκρατίτης (τινὲς δὲ Ἀρδουένιον σοφιστὴν γράφουσι παίζοντες, πόλις δὲ Φοινίκης ἡ Ἀρδούενα). Ἐπαίδευσεν ἐν Ἀθήναις ἐπὶ Κομόδου τοῦ βασιλέως, καὶ ἐτελεύτησε βιώσας ἔτη νη'. Συνέταξεν Ὀνομαστικόν, διαλέξεις, ἤτοι λαλιάς, μελέτας, Ῥητορικὸν λόγον, Πανελλήνιον καὶ Ἀρκαδικόν.

Ποσειδώνιος Ὀλβιοπολίτης, σοφιστὴς καὶ ῥητορικός, γράψας περὶ τοῦ Ὠκεανοῦ καὶ τῶν κατ' αὐτόν, περὶ τῆς Τυρικῆς καλουμένης χώρας καὶ Λιβυκά.

«Ποτάμων Μιτυληναῖος, υἱὸς Λεσβώνακτος, ῥήτωρ καὶ

σοφιστὴς ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Τιβερίου. Καί ποτε αὐτοῦ εἰς τὴν πατρίδα ἐπανιόντος ὁ βασιλεὺς ἐφοδιάζει τοῖςδε γράμμασι· Ποτάμωνα Λεσβώνακτος εἴ τις ἀδικεῖν τολμήσει, σκεψάσθω εἴ μοι δυνήσεται πολεμεῖν. Ἔγραψε περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅρους Σαμίων, Βρούτου ἐγκώμιον, Καίσαρος ἐγκώμιον, περὶ τελείου ῥήτορος πάνυ θαυμαστῶς· Προκόπιος ζήσας κατὰ τὸν ϛ΄ μ. Χ. αἰῶνα.

Πωλίων ὁ Ἀσίνιος, χρηματίσας Τραλλιανὸς σοφιστὴς καὶ φιλόσοφος, σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ Πομπηΐου τοῦ μεγάλου καὶ διαδεξάμενος τὴν σχολὴν τοῦ Τιμογένους.

Πῶλος Ἀκραγαντῖνος, ῥήτωρ, μᾶλλον δὲ σοφιστὴς τῶν πάλαι, διδάσκαλος Λικυμνίου, γράψας καὶ περὶ λέξεων.

Πρίσκος, Πανίτης, σοφιστεύσας ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, γράψας καὶ μελέτας ῥητορικάς.

Προαιρέσιος Παγκρατίου Καππαδόκης ἀπὸ Καισαρείας, σοφιστής, μαθητεύσας ἐν Ἀντιοχείᾳ παρ' Οὐλπιανῷ. Γέγονε δὲ μικρὸν πρὸ τοῦ σοφιστοῦ Λιβανίου κατὰ τὰς Ἀθήνας σοφιστεύων, καὶ τιμῶν ἔτυχε τῶν μεγίστων τοῦ Αὐτοκράτορος Κωνσταντίνου. Ἔγραψε μελέτας ῥητορικάς.

Σ.

Σαλούστιος ὁ σοφιστής, γράψας εἰς Δημοσθένην καὶ Ἡρόδοτον ὑπόμνημα. Σεβῆρος Ἀλεξανδρεύς, ὥσπερ καὶ Συνέσιος, ζήσας κατὰ τὸν τέταρτον μ. Χ. αἰῶνα.

«Σκοπελιανὸς Κλαζομένιος, γεγονὼς ἐπὶ Νέρβα, σοφιστεύσας ἐν Σμύρνῃ, μαθητὴς Νικήτου, σύγχρονος Ἀπολλωνίῳ τῷ Τυανεῖ».

«Σώπατρος Ἀπαμεύς, σοφιστὴς καὶ φιλόσοφος, ὃν καὶ Κωνσταντῖνος ὁ Καῖσαρ ἀνεῖλεν εἰς πίστιν τοῦ μὴ ἑλληνίζειν ἔτι κατὰ τὴν θρησκείαν· ἦν γὰρ αὐτῷ συνήθης πρότε-

ρον. Ἔγραψε περὶ Προνοίας καὶ τῶν παρ' ἀξίαν εὐπραγούντων ἢ δυσπραγούντων. Καὶ ἕτερος Σώπατρος Ἀπαμεύς. Οὗτος ἔγραψεν ἐπιτομὰς πλείστων. Τινὲς δὲ καὶ τὴν ἐκλογίαν τῶν Ἱστορικῶν τούτου εἶναί φασιν.

Τ.

Τίμαιοι δύο, ὧν ὁ μὲν Λοκρὸς φιλόσοφος, φερώνυμος Πλατωνικοῦ διαλόγου, ὁ δ' ἕτερος Σοφιστὴς καὶ γραμματικός, συγγράψας λεξικὸν Πλατωνικῶν λέξεων.

Τιμογένης κατὰ μὲν Σουΐδαν ἦν βασιλικοῦ ἀργυραμοιβοῦ υἱός, Ἀλεξανδρεύς, ῥήτωρ, ὡς δέ τινες Αἰγύπτιος, ἀπελεύθερος, σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ Πομπηΐου, Καίσαρος καὶ Αὐγούστου. Ἦν δὲ καὶ Τιμογένης ἱστορικός, γράψας περίπλουν πάσης θαλάσσης, καὶ ἄλλος Τιμογένης ἢ Τιμαγένης Μιλήσιος, Σύρος κατὰ Ψευδοπλούταρχον, 6, γράψας περίπλουν πάσης θαλάσσης (3, σ. 317—320 Μ.).

Υ.

Ὑπανίας, Ἀλεξανδρεύς, διδάσκαλος Συνεσίου καὶ Ἐπίσκοπος Πτολεμαΐδος.

Φ.

Φίλιππος, ῥήτωρ καὶ σοφιστής, γράψας περὶ πνευμάτων τῶν Ἡρωδιανοῦ κατὰ στοιχεῖον καὶ περὶ συναλοιφῆς.

Φίλιστος Ναυκρατίτης, κατὰ δέ τινας Συρακούσιος, συντάξας τέχνην Ῥητορικὴν καὶ περὶ τῆς Αἰγυπτίων θεολογίας βιβλία γ' καὶ δημηγορίας.

Φιλόστρατοι τρεῖς, ὧν ὁ μὲν ἦν Φιλοστράτου τοῦ υἱοῦ Βήρου, Ληµνίου σοφιστοῦ, σοφιστεύσας Ἀθήνησιν ἐπὶ Σεβήρου ἕως Φιλίππου, ὁ δὲ πατὴρ αὐτοῦ Φλάβιος, Λήμνιος ἢ

Ἀθηναῖος κατ᾽ ἄλλας εἰδήσεις, σοφιστὴς περίφημος καὶ ῥήτωρ, γεγονὼς ἐπὶ Νέρωνος, ἐν ἀρχῇ μὲν σοφιστεύσας Ἀθήνησιν, ὕστερον δ᾽ ἐπὶ Σεβήρου ἐν Ῥώμῃ, ὑπερτιμηθεὶς ὑπὸ τῆς βασιλίδος Ἰουλίας. Ἔγραψε ῥητορικὰς ἀφορμὰς καὶ λόγους πανηγυρικοὺς καὶ κύνα ἢ σοφιστὴν καὶ βίους σοφιστῶν. Ἔστι δὲ καὶ ἄλλος Φιλόστρατος, Λήμνιος καὶ αὐτὸς σοφιστής.

Ἐπαίδευσε δ᾽ Ἀθήνησι, καὶ τελευτήσας ἐτάφη ἐν Λήμνῳ, ἀκουστὴς καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. Ἔγραψεν εἰκόνας, Παναθηναϊκόν, Τρωϊκόν, παράφρασιν τῆς Ἡσιόδου ἀσπίδος, μελέτας, κατὰ δέ τινας καὶ τοὺς τῶν σοφιστῶν βίους.

Παρὰ Φωτίῳ λεξικοῖς Τ. 1, σ. 99, 150 Βεκ. Ἐνετύχομεν δὲ καὶ Φιλοστράτου Τυρίου εἰς τὴν αὐτὴν ὑπόθεσιν (λεξικὸν τῶν παρὰ τοῖς δέκα ῥήτορσι λέξεων κατὰ στοιχεῖον) οὐκ ἀδοκίμῳ σπουδάσματι· ἀλλ᾽ ἄμεινον ὁ Ἰουλιανὸς διεπόνησεν. Νυνὶ δὲ τερματίσαντος τὸ ἡμέτερον σχεδίασμα, ἐπισυνάπτομεν τὸ τοῦ Φλαυΐου Φιλοστράτου ἐν βραχυτάτῳ κεφαλαίῳ, ἀφιερώσαντος τοὺς κατ᾽ αὐτὸν βίους τῶν σοφιστῶν Ὑπάτῳ Ἀντωνίῳ Γορδιανῷ, Μουσηγέτῃ, ἀναφέροντι τὸ γένος εἰς Ἡρώδην τὸν σοφιστήν.

Κατὰ τὸν Φιλόστρατον οὖν τοῦτον ἡ ἀρχαία πρώτη σοφιστικὴ ῥητορικὴ ἦν φιλοσοφοῦσα, διιοῦσα τὰ φιλοσοφούμενα ἐπιτάδην καὶ εἰς μῆκος, ἧς ἦρξε Γοργίας ἐν Θεσσαλοῖς, ἐν ᾧ τῆς ἀρχαίας δευτέρας Αἰσχίνης, τῶν μὲν Ἀθήνησι πολιτικῶν ἐκπεσών, Καρίᾳ δὲ συνομιλήσας καὶ Ῥόδῳ. Σοφιστὰς δ᾽ οἱ παλαιοὶ ἐπωνόμαζον οὐ μόνον τῶν ῥητόρων τοὺς ὑπερφωνοῦντας καὶ λαμπρούς, οὓς οἱ Ἀθηναῖοι ἐξεῖργον τῶν δικαστηρίων, ὁρῶντες δεινότητα περὶ αὐτούς, ὡς ἀδίκῳ λόγῳ τοῦ δικαίου κρατοῦντας καὶ ἰσχύοντας παρὰ τὸ εὐθύ· ἀλλὰ

καὶ τῶν φιλοσόφων τοὺς σὺν εὐροίᾳ ἑρμηνεύοντας, ὑπὲρ ὧν πρότερον λέγει, ἐπειδὴ καὶ οὗτοι, οὐκ ὄντες σοφισταί, παρῆλθον εἰς τὴν ἐπωνυμίαν ταύτην. Εἰσὶ δ' οἵδε, Εὔδοξος ὁ Κνίδιος, Ἀκαδημαϊκός, ἐγγραφεὶς τοῖς σοφισταῖς ἐπὶ τῷ κόσμῳ τῆς ἀπαγγελίας, τῷ σχεδιάζειν εὖ. Λέων Βυζάντιος, Πλατωνικός, σοφιστὴς προσρηθείς, πολυειδῶς ἔχων τοῦ λόγου καὶ πιθανῶς τῶν ἀποκρίσεων. Δίων Ἐφέσιος, Ἀκαδημαϊκός, νομισθεὶς σοφιστὴς ὅτι Φίλιππον ἐποίησεν ἐπὶ τὴν Ἀσίαν στρατεύειν, εἰπὼν πρὸς τοὺς Ἕλληνας ἀκολουθεῖν στρατεύματι, καλὸν γὰρ εἶναι καὶ τὰ ἔξω δουλεύειν ἐπὶ τῷ οἴκοι ἐλευθεροῦσθαι. Πρὸς δὲ τούτοις Καρνεάδης, Φιλόστρατος Αἰγύπτιος, Θεόμνηστος Ναυκρατίτης, Δίων ὁ Προυσαῖος, κέρας Ἀμαλθείας ἀκούων, ἐπὶ δυσὶ βιβλίοις ἑαυτὸν συνέχων, τῷ Πλάτωνος Φαίδωνι καὶ τῷ τοῦ Δημοσθένους κατὰ τῆς πρεσβείας. Φαβωρῖνος ἐπ' εὐγλωττίᾳ ἐξ Ἑσπερίων Γαλατῶν, Ἀρελάτου πόλεως ἐπ' Ἠριδανῷ ἢ Πάδῳ, ἐναβρυνόμενος ὅτι Γαλάτης ὢν ἑλληνίζοι, καὶ ἀρχιερεὺς ἀναρρηθείς·

Οἱ δὲ κυρίως σοφισταὶ ἐγένοντο κατὰ τὸν αὐτὸν οἵδε. Γοργίας τε καὶ Πρωταγόρας, Ἱππίας, Πρόδικος, Πῶλος, Θρασύμαχος ὁ Καρχηδόνιος, Ἀντιφῶν ὁ Ῥαμνούσιος, Κριτίας, Ἰσοκράτης, Αἰσχίνης, Νικήτας Σμυρναῖος, ὃς παραλαβὼν τὴν ἐπιστήμην εἰς στενὸν ἀπειλημμένην, ἔδωκεν αὐτῇ παρόδους πολλῷ λαμπροτέρας, καταστὰς περίβλεπτος ἐν τοῖς ζηλωτοῖς τῶν Σμυρναίων. Ἰσαῖος δὲ καὶ Σκοπελιανός, ὁ Ἀρχιερεὺς γενόμενος τῆς Ἀσίας αὐτός τε καὶ οἱ πρόγονοι αὐτοῦ, παῖς ἐκ πατρὸς πάντες, ὁ δὲ στέφανος οὗτος πολὺς καὶ ὑπὲρ πολλῶν χρημάτων. Ἐγένετο μαθητὴς Νικήτου, πρὸς οὗ τὴν μεγαλοφροσύνην ἠγωνίζετο, μελετῶν συνήθως ἀφ' ἑσπέρας εἰς ὄρθρον, τὸ ἐπίχαρι φύσει μᾶλλον ἢ μελέτῃ κεκτημένος, ὥσπερ καὶ τὴν εὐτραπελίαν καὶ τὸ φιλόγελων, ἅτε

Ἴων, προῖκα συντάττων αὐτὸν τοῖς ὑπὲρ τῆς ψυχῆς κινδυνεύουσιν. Διελέγετο ἀπὸ μὲν τοῦ θρόνου σὺν ἁβρότητι, ὀρθὸς δ' ἐπεστραμμένως καὶ εὐρώστως. Ὅτε δ' Ἀθήναζε ἀφίκετο, ἐποιήσατο αὐτὸν ξένον ὁ Ἡρώδου τοῦ σοφιστοῦ πατήρ, Ἀττικός, θαυμάζων ἐπὶ Ῥητορικῇ μᾶλλον ἢ τὸν Γοργίαν οἱ Θετταλοί, ἐπιδοὺς αὐτῷ πεντεκαίδεκα τάλαντα, ὥσπερ καὶ ἄλλα τοσαῦτα καὶ ὁ υἱὸς πρὸς διδασκαλίαν.

Διονύσιος δὲ Μιλήσιος, κτησάμενος τὴν εὐταξίαν τῶν διανοημάτων τοῦ διδασκάλου Ἰσαίου, ἐπαναλαμβάνων τὰ λεγόμενα, ἵνα οἱ ἀμαθέστεροι τῶν νέων ἐντυπῶνται αὐτὰ ἐν ταῖς γνώμαις.

Ὑπὲρ οὗ τελευτῶν ὁ Φιλόστρατος εἴρηκεν «ἀνδρῶν μὲν οὖν ἐπιφανῶν πᾶσα γῆ τάφος, Διονυσίῳ δὲ σῆμα ἐν τῇ ἐπιφανεστάτῃ Ἐφέσῳ, τέθαπται γὰρ ἐν τῇ ἀγορᾷ κατὰ τὸ κυριώτατον τῆς Ἐφέσου, ἐν ᾗ κατεβίω, παιδεύσας τὸν πρῶτον βίον ἐν Λέσβῳ.

Λολλιανὸς δὲ ὁ Ἐφέσιος προὔστη μὲν τοῦ Ἀθήνησι Θρόνου πρῶτος, προὔστη δὲ καὶ τοῦ Ἀθηναίων δήμου, στρατηγήσας αὐτοῖς τὴν ἐπὶ τῶν ὅπλων, σοφιστὴς τεχνικώτατος καὶ φρονιμώτατος τὸ ἐπιχείρημα ἐν ἐπινοίᾳ τεχνικῇ κείμενον ἱκανῶς ἐπινοῆσαι καὶ ἑρμηνεῦσαι μὲν ἀποχρῶν, νοῆσαι δὲ καὶ τὰ νοηθέντα τάξαι ἀπέριττος. Ἐσχεδίαζε κατὰ τὸν Ἰσαῖον, οὗ καὶ ἠκροάσατο.

Μάρκος δὲ Βυζάντιος εἰς τὸν Μεγαρέα Βύζαντα τὸ γένος ἀναφέρων, κτίτορα Βυζαντίου, ἑπόμενος Ἰσαίῳ, παρ' οὗ καὶ τὸ κατὰ φύσιν ἑρμηνεύειν μαθὼν ἐπεκόσμησεν αὐτὸ ὡραϊσμένῃ πραότητι. Ἠγάσθη τε αὐτὸν Ἀδριανὸς Αὐτοκράτωρ, πρεσβεύσαντα ὑπὲρ Βυζαντίων, ἐπιτηδειότατος τῶν πάλαι βασιλέων γενόμενος ἀρετὰς αὐξῆσαι.

Πολέμων δὲ καὶ Σεκοῦνδος Ἀθηναῖος, κληθεὶς Ἐπίουρος,

ὡς τέκτονος παῖς, γινώσκειν μὲν περιττός, ἑρμηνεῦσαι δ' ἀπέριττος, ταφεὶς ἐν Ἐλευσῖνι, ἐν δεξιᾷ τῆς Μεγάραδε ὁδοῦ.

Ἡρώδης δὲ καὶ Θεόδοτος Λολλιανοῦ μὲν ἀκροατής, Ἡρώδου δὲ οὐκ ἀνήκοος, καὶ Ἀριστοκλῆς, ὀνομαστὸς ἐν σοφισταῖς, Περγαμηνός, θαμίζων ἐν Ῥώμῃ τῷ Ἡρώδῃ, διατιθεμένῳ σχεδίους λόγους, οὗ ἡ τοῦ λόγου ἰδέα διαυγὴς μὲν ἦν καὶ ἀττικίζουσα, διαλέγεσθαι ἐπιτηδειοτέρα ἢ ἀγωνίζεσθαι.

Ἀντίοχος δὲ Κίλιξ, ἀκροατὴς ἐν παισὶ μὲν Δαρδάνου τοῦ Ἀσσυρίου, προϊὼν δὲ εἰς τὰ μειράκια Διονυσίου τοῦ Μιλησίου. Ἀλέξανδρος δὲ Κίλιξ καὶ αὐτός, Πηλοπλάτων κληθείς, εἰπὼν Ἀθήνησιν ὅτι πάντες οἱ σοφισταὶ τεμάχιά εἰσιν Ἡρώδου τοῦ σοφιστοῦ, Φαβωρίνου γνησιώτατα ἀκροασάμενος, παρ' οὗ μάλιστα καὶ τὴν ὥραν τοῦ λόγου ἔσπασεν.

Οὔαρος δὲ Περγαμηνός, αὐτοσχεδιάζων τὰς θετικὰς ὑποθέσεις καὶ τὸν Φαβωρίνου τρόπον σοφιστεύων, ἀπαγγέλλων λαμπρᾷ τῇ φωνῇ καὶ ἠσκημένῃ.

Ἑρμογένης δὲ καὶ Φίλαρχος Λολλιανοῦ ἀκροατής, ᾧ ἐπέπληξεν Ἡρώδης, ὡς μὴ κτωμένῳ ἀκροατῶν εὔνοιαν, ἣν προοίμιον ἡγεῖσθαι χρὴ τῶν ἐπιδείξεων, καὶ ὃς πρὸς τὴν βελτίστην γνώμην Ἡρώδου ὑπολαβὼν ἔφη, «ἐψεύσθην τῆς ἐπιδείξεως, παρελθὼν εἰς ἀκροατὰς μὴ εὔνους.» Περὶ δ' Ἀριστείδου δρεπόμεθα μόνον ὅ,τι περὶ αὐτοῦ ῥητορικὸν Φιλόστρατος ἀναγέγραφεν, ὅτι, ἐπὶ τὸ σχεδιάζειν μὴ ἑπομένης αὐτῷ τῆς φύσεως, τῆς ἀκριβείας ἐπεμελήθη, καὶ πρὸς τοὺς παλαιοὺς ἀπέβλεψεν, ἱκανῶς τε τῷ γονίμῳ ἴσχυσε, κουφολογίαν τοῦ λόγου ἐξελών, οὔτε εἰς χάριν τῶν πολλῶν διαλεγόμενος, οὔτε κρατῶν χολῆς ἐπὶ τοὺς μὴ ξὺν εὐνοίᾳ ἀκροωμένους, ἐκπονῶν κῶλον ἐκ κώλου καὶ νόημα ἐκ νοήματος ἀνακυκλῶν, ἐοικὼς μασσῶντι μᾶλλον ἢ ἐσθίοντι, αὐτοσχέδιος γὰρ γλώττης ἀγώνισμα εὐροούσης. Ἀλλ' ὁπωσδήποτε εἰς

πολλὰς ὑποθέσεις εὐπαιδευσία ἐστὶ τῷ ἀνδρὶ καὶ ἰσχὺς καὶ ἦθος, ἀφ' ὧν μᾶλλον θεωρητέος, ἢ εἴ που περιέπτυσσέ τι, εἰς φιλοτιμίαν ἐκπεσών.

'Αδριανὸς δὲ καὶ Χρῆστος, ἀδικηθεὶς ὑπὸ τῆς 'Ελλάδος, ἄριστα μὲν 'Ελλήνων ὑπὸ 'Ηρώδου παιδευθείς, πολλοὺς δὲ παιδεύσας καὶ θαυμαστοὺς ἄνδρας, 'Ιππόδρομον τὸν σοφιστὴν καὶ Φιλίσκον καὶ 'Ισαγόραν τὸν τραγῳδόν, καὶ ῥήτορας εὐδοκίμους, ἐν οἷς Νικομήδης ὁ Περγαμηνὸς καὶ 'Ακύλας ἐκ τῆς ἑῴου Γαλατίας, 'Αρισταίνετος ὁ Βυζάντιος, καὶ φιλοσόφους, ἐν οἷς Κάλλαισχρος ὁ 'Αθηναῖος καὶ ὁ ἐπὶ βωμῷ Σῶσπις, τὴν δὲ ἰδέαν τοῦ λόγου πεποίκιλται μὲν ἐκ τῶν 'Ηρώδου πλεονεκτημάτων, ὧν λείπεται καθ' ἕτοιμον, καθάπερ ἐν ζωγραφίᾳ ἡ ἄνευ χρωμάτων σκιαγράφησις.

Πολυδεύκης δὲ καὶ Παυσανίας, μαθητὴς 'Ηρώδου, ἐπικληθεὶς μάγειρος πολυτελής, ὄψα πονήρως ἀρτύων, ὡς τὰ σύμφωνα τῶν στοιχείων συγκρούων καὶ συστέλλων μὲν τὰ μακρὰ τῶν φωνηέντων, μηκύνων δὲ τὰ βραχέα, καίπερ ἐρρωμένος τοῖς ἄλλοις τῆς 'Ρητορικῆς ἀξιώμασιν.

'Αθηνόδωρος δ' ἐξ Αἴνου, μαθητὴς Χρήστου, ἐμβριθὴς τὸ ἦθος, ἀττικίζων καὶ ἐν περιβολῇ ἑρμηνεύων. Λαμπρὸς δ' ἐν σοφισταῖς καὶ Πτολεμαῖος ὁ Ναυκρατίτης ἤχησεν, 'Ηρώδου μὲν ἀκροατής, οὐ μὴν καὶ ζηλωτής, εἰς τὸν Πολέμωνα μᾶλλον ὑπενεχθείς, ἐκ περιβολῆς κατ' αὐτὸν φράζων, αὐτοσχεδιάζων ἐν εὐροίᾳ ἀμηχάνῳ, Μαραθὼν ἐπικληθείς, ὡς ἔχων ἀεὶ διὰ στόματος τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας. Εὐοδιανὸς δὲ Σμυρναῖος, τὸ μὲν γένος εἰς Νικήταν τὸν σοφιστὴν ἀνάγων καὶ εἰς 'Αρχιερέας, ἀκροατὴς δ' 'Αριστοκλέους γενόμενος καὶ Πολέμωνος κατάτινας. 'Ροῦφος δὲ Περίνθεος, θαυμασθεὶς ἐπὶ γλώττῃ καὶ συνέσει, ᾗ περὶ τὰς ἐσχηματισμένας μάλιστα τῶν ὑποθέσεων ἐχρήσατο, εὖ ὑποκρι-

νόμενος καὶ γυμναστικῇ χρώμενος. Ἠκροάσατο ἐν παισὶ μὲν Ἡρώδου, ἐν μειρακίοις δ' Ἀριστοκλέους. Ὀνόμαρχος δ' Ἄνδριος, παιδεύσας Ἀθήνησιν ἐπὶ τοῦ σοφιστοῦ Ἀδριανοῦ καὶ Χρήστου. Ἀπολλώνιος δ' ὁ Ναυκρατίτης, ἐρρωμένος περιβολῇ, ὡς ὁ Ἀθηναῖος, τοῦ πολιτικοῦ θρόνου προεστὼς καὶ ἀξιωθεὶς ὀνόματος καθ' Ἕλληνας.

Ἀρποκράτης δὲ καὶ Φοίνιξ, Θεσσαλός, οὐδὲ θαυμάσαι ἄξιος, οὐδ' αὖ διαβάλλειν πάντα, ἐπιτηδειότερος τοῖς ἀρχομένοις τῶν νέων ἢ τοῖς ἕξιν τινὰ ἤδη κεκτημένοις, τὰ γὰρ πράγματα γυμνὰ ἐξεδήλου καὶ οὐ περιήμπισχεν αὐτὰ λέξει. Τελευτῶν μὲν οὖν ὁ Φιλόστρατος ἀνέγραψε καὶ Δαμιανοὺς καὶ Ἀντιπάτρους καὶ Ἑρμοκράτας καὶ Ἡρακλείδας καὶ Ἱπποδρόμους καὶ Οὐάρους Λαοδικεῖς καὶ Κυρίνους καὶ Φιλίσκους καὶ Αἰλιανοὺς καὶ Ἡλιοδώρους καὶ Ἀσπασίους καὶ Νικηγόρους Ἀθηναίους. Ἁπαξάπαντες δ' οὖν οἱ σοφισταὶ οὗτοι καὶ οἱ ἄλλοι, οὓς κατὰ τὴν τάξιν Εὐδοκίας τε καὶ Φιλοστράτου προβεβλήκαμεν τοῦ πράγματος ἕνεκα, ἔστωσαν καὶ ἀφορμαὶ λόγων τε ῥητορικῶν καὶ προγυμνασμάτων, ὡς ἐξαίρετα καὶ τηλαυγῆ πρόσωπα κατὰ Πίνδαρον, πλατυνομένων καθ' ὕλην καὶ εἶδος καὶ δὴ περιβολῇ, περὶ ἧς ἐρεῖν μέλλομεν ἐν τῷ τοῦ Ἱμερίου βίῳ.

Τοιγαροῦν περιοριζόμεθα ἤδη εἰς τὴν βιογραφίαν τήνδε Ἱμερίου, ὄντος νεωτέρου τοῦ Ἀριστείδου περὶ τοὺς δύο αἰῶνας.

Ἱμερίῳ τοίνυν τῷ σοφιστῇ, Προυσιεῖ, περὶ τὸ πεντεκαιδέκατον καὶ τριακοσιοστὸν ἔτος ἀπὸ Χριστοῦ γεννηθέντι, πατὴρ ἦν Ἀμεινίας, ῥήτωρ. Τυχὼν ἐν Ἀθήναις τῆς προσηκούσης παιδείας καὶ τὰς ἑαυτοῦ γνώσεις διὰ περιηγήσεων εἰς πολλῶν ἀνθρώπων ἄστη καθ' Ὅμηρον ἐκτείνας καὶ δὴ εἰς Κόρινθον, Ἀθήναζε αὖθις ἧκε καὶ τὴν ῥητορικὴν μετὰ φήμης ἐδίδασκεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου καὶ τοῦ δυσσεβε-

στάτου Ἰουλιανοῦ κατὰ Φώτιον, γενόμενος μὲν σοφιστὴς (Ἐκλ. 7, § 1. 6.), ἤτοι λογογράφος καὶ δὴ συνήγορος ἐν δικαστηρίοις, πολιτογραφηθεὶς δὲ καὶ τιμηθεὶς τῷ τοῦ Ἀρεοπαγίτου τίτλῳ. Ὕστερον προσκληθεὶς ὑπὸ Ἰουλιανοῦ, αὐτοκράτορος ἤδη ὄντος, μυστικὸς αὐτοῦ γραμματεὺς ἐγένετο, μεγάλως εὐνοούμενος. Ἐκείνου δὲ τελευτήσαντος, τῇ ἀποδημίᾳ πάλιν κατ' Εὐνάπιον ἐνδιέτριψε, καὶ εἶτα πάλιν εἰς Ἀθήνας ἀφικόμενος τοῦ αὐτόθι κατὰ ῥητορείαν προὔστη διδασκαλείου κατὰ Φώτιον· ἔνθα, καίτοι ὑπὸ φθονερῶν ἀντιπάλων κατεπολεμεῖτο, ἀπειροπληθεῖς πολλαχόθεν καὶ δὴ ἐκ Καππαδοκίας, Μυσίας, Βιθυνίας, Αἰγύπτου ὁμιλητὰς ὥς τις μαγνήτης εἷλκε καὶ ὄνομα περικλεὲς ἐκέκτητο. Ἐφ' ᾧ χαίρων ὕστερον ἐκαυχᾶτο τρόπον τινὰ ὁ Ἱμέριος, παραβάλλων τὸ μὲν διδασκαλεῖον ἑαυτοῦ πρὸς τὸ τοῦ Ἰσοκράτους καὶ τὸ ἐν Δελφοῖς μαντεῖον, τοὺς δὲ φοιτητὰς πρὸς πυλαγόρους καὶ ἱερομνήμονας, ὡς εἰπεῖν. Ἐν τοῖς δὲ δοκιμώτατοι τῶν μαθητῶν ἐγένοντο Βασίλειος ὁ μέγας ἐπικαλούμενος καὶ Γρηγόριος ὁ Ναζιανζηνός, ὁ θεολόγος κατ' ἀντονομασίαν. Ἐν δὲ γήρᾳ παθὼν ὁ Ἱμέριος νόσους δύο, ἀβλεψίαν κατὰ Σουΐδαν καὶ ἱερὰν νόσον, ἤτοι ἐπιληψίαν κατ' Εὐνάπιον, ὑπερεβδομηκοντούτης τὴν ἡλικίαν ἐτελεύτησεν. Καὶ ὡς βασιλεῖ δὲ τῆς εὐφραδείας ἱδρύθη αὐτῷ ἐν Ῥώμῃ ἀνδριὰς δόγματι τῆς ῥωμαϊκῆς Συγκλήτου. Ὁ Φώτιος κρίνων αὐτὸν θρησκευτικῶς καλεῖ ἀσεβῆ τὴν θρησκείαν, ὡς ἀφωσιωμένον τῷ ἐθνικῷ ἑλληνισμῷ καὶ τῷ αὐτοκράτορι Ἰουλιανῷ. (α)

Ἐκ τῶν διαφόρων τοῦ Ἱμερίου λόγων διεσώθησαν μέχρις ἡμῶν ἑβδομήκοντα, ὧν οἱ μὲν ἓξ καὶ τριάκοντα ἐπιγράφονται ἐκλογαὶ ἰδίως, οἱ δὲ ἄλλοι, λόγοι. Ἐν πᾶσι τούτοις διορᾶτις ἐννοίας ὑψιπετεῖς, παραστάσεις ζωηράς, εἰκόνας μεγαλοπρεπεῖς καὶ ποιητικὰς ῥήσεις, μεταφορὰς δὲ καὶ ἀλ-

ληγορίας ἔστιν ὅπου ἐπιδεικτικάς, εἰμὴ διθυραμβώδεις.

Ἐν γένει μὲν τὸ Ἱμερίου ὕφος κεκόσμηται ἰδέαις, ἤτοι ὕψει τε καὶ γλαφυρότητι καὶ ἀφελείᾳ καὶ ἄλλοις τρόποις οἰκείοις τῶν πραγμάτων· ἰδίᾳ δὲ διαφέρει ἐν ταῖς πέντε πρώταις τῶν Ἐκλογῶν, δυεῖν μὲν μελέταιν δῆθεν τοῦτο μὲν Ὑπερίδου ὑπὲρ Δημοσθένους, τοῦτο δὲ Δημοσθένους ὑπὲρ Αἰσχίνου, ὡς οἴκαδε καταχτέου· τῇ δὲ τρίτῃ ἑαυτοῦ κατ' Ἐπικούρου ὡς ὑλιστοῦ καὶ ἀθέου καὶ ἀσεβοῦς, ταῖς δ' ἄλλαις περὶ παραγραφῆς τρόπου κρίσεως καὶ περὶ Θεμιστοκλέους κατὰ μεγάλου βασιλέως, ἐπαγγελλομένου τὰ λελυμασμένα ἐπανορθώσασθαι. Αὐτόθι πλεονάζει κατὰ ζῆλον Δημοσθένους καὶ περιβολῇ ἢ ἐμπερβόλῳ καὶ ἐσχηματισμένῳ λόγῳ, ᾧ περ ἀντίκειται ὁ ἀπερίβλητος ἢ καθαρὸς καὶ ἀφελής. (β)

Καὶ κατ' Εὐνάπιον p. 129 «Ἔστιν ὁ Ἱμέριος εὔκολος εἰπεῖν καὶ συνηρμοσμένος· κρότον δὲ ἔχει καὶ ἦχον ἡ συνθήκη πολιτικὸν καί που σπάνιος καὶ παρὰ τὸν θεῖον Ἀριστείδην ἵσταται»· εἴτ' οὖν ἔστι τῷ ἀνδρὶ ῥητορεία καὶ λόγου εὔροια ἐμπερίοδος, καί που ἐναμίλλῳ τοῦ θείου Ἀριστείδου. Ἐπὶ δὲ τούτοις ἐπιδαψιλεύει καὶ εἰδήσεσιν ἱστορικαῖς καὶ παραδείγμασιν, ἀφ' ὧν διασκευάζει καὶ προλόγους καὶ ἀγῶνας καὶ ἐπιλόγους.

(α) Ἐν τούτοις ἐμαθήτευσαν παρ' Ἱμερίῳ δύο τῶν μεγάλων τῆς Ἐκκλησίας φωστήρων, τὸ μὲν Βασίλειος ὁ μέγας, Ἐπίσκοπος Καισαρείας Καππαδοκίας, τῇ ἀληθείᾳ μέγας ἐπονομαζόμενος, ἅτε ἀνὴρ ἐλλογιμώτατος καὶ εἰς ἄκρον παιδείας ἐληλακώς· τὸ δὲ Γρηγόριος ὁ Ναζιανζηνός, Γραμματικὸς ἄριστος καὶ φιλόσοφος καὶ ποιητὴς ἔμπειρος. Κατὰ Μελέτιον, Μητροπολίτην Ἀθηνῶν, συναμφότεροι ἐφοίτησαν καὶ παρὰ Προαιρεσίῳ καὶ Λιβανίῳ, τῷ καταστήσαντι αὐτοὺς ῥήτορας ἐξόχους, φιλτάτους ὄντας ἐκ παίδων,

ὥστε τὸν Γρηγόριον αὐτὸν ὁμολογεῖν περὶ Βασιλείου ὅτι οὕτως ἠγάλλετο ἐπὶ τοῖς λόγοις ἑαυτοῦ, ὡς οὐδεὶς ἐπὶ τοῖς ἰδίοις, καὶ ἀρχόμενον τοῦ ἐπιταφίου πρὸς τὸν πατέρα ἀναφωνῆσαι πρὸς Βασίλειον ἀποβλέποντα «ἄνθρωπε τοῦ Θεοῦ καὶ πιστὲ θεράπον καὶ οἰκονόμε τῶν τοῦ Θεοῦ μυστηρίων καὶ ἄνερ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος· οὕτω γὰρ ἡ Γραφὴ καλεῖ τοὺς διαβεβηκότας (ἐξόχους τῇ ἀρετῇ) καὶ ὑψηλοὺς καὶ ὑπεράνω τῶν ἀνθρωπίνων». Τὸ δὲ προοίμιον Γρηγορίου εἰς ἐπιτάφιον Βασιλείου ἔχει.» Ἔμελλεν ἄρα πολλὰς ἡμῶν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ Μέγας Βασίλειος ἑαυτὸν νῦν ἡμῖν προσθήσειν ὑπόθεσιν ἐλέγχων μεγάλων τοῖς περὶ λόγους ἐσπουδακόσιν. Ἀνταξίως οὖν ἐπ' Ἀλεξίου Κομνηνοῦ καθ' ἑκατοστὸν καὶ χιλιοστὸν ἔτος τῆς Θεογονίας καθιερώθη κοινὴ ἑορτὴ ἐπὶ τοῖς τρισὶ πατράσι τῆς Ἐκκλησίας, Ἱεράρχαις τε καὶ Οἰκουμενικοῖς διδασκάλοις, Βασιλείῳ τῷ Μεγάλῳ καὶ Γρηγορίῳ τῷ Θεολόγῳ καὶ Ἰωάννῃ τῷ Χρυσοστόμῳ, ὡς ἐκ τῆς φιλονεικίας ἐλλογίμων καὶ ἐναρέτων ἀνδρῶν, περὶ πλείονος ποιουμένων τῶν μὲν τὸν Βασίλειον, τῶν δὲ τὸν Γρηγόριον, τῶν δὲ τὸν Χρυσόστομον, καὶ ὀνομαζομένων Βασιλειτῶν, Γρηγοριτῶν καὶ Ἰωαννιτῶν.

(6) Καὶ ὁ μὲν Σουΐδας φησὶ περιβολή, εἶδος λόγου δεινότητος· ἀλαζόνας φασὶν εἶναι τοὺς Ἕλληνας, τὰ οἰκεῖα αἴροντας διά τε ἐπιγραμμάτων καὶ συγγραφῶν καὶ τῆς ἄλλης τοῦ λόγου πομπείας καὶ περιβολῆς. Ὁ δὲ Θωμᾶς Μάγιστρος περιβάλλω, λέγεται δὲ καὶ περιβολὴ καὶ ἐπὶ λόγων τὸ ἐστραμμένως καὶ ποικίλως χρῆσθαι τῇ ἑρμηνείᾳ καὶ τοῖς σχήμασιν. Ὁ δὲ Φιλόστρατος βίοις σοφιστῶν I, p. 511 τὸν ἐννεακαιδέκατον ἀπ' Εὐδόξου τοῦ Κνιδίου σοφιστὴν Νικήταν τὸ δικανικὸν σοφιστικῇ κοσμῆσαι περιβολῇ· ἡ γὰρ περιβολὴ κατ' Οὐερνσδόρφιον ἐκλογῇ πρώτῃ ἐστὶ περίοδος σὺν οἰκείοις

ὀνόμασι καὶ νοήμασι καὶ σχημάτων ποικιλίᾳ καὶ φράσεων ἀφθονίᾳ οὐ μόνον δαψιλής, ἀλλὰ καὶ συντεταγμένη ἐκ κρίσεων συναφῶν φύσει, ὥσπερ παρὰ Θουκυδίδῃ καὶ Δημοσθένει, δυναμένων διὰ πολλῶν παρατεταγμένων προτάσεων ἐκδηλοῦσθαι, ὥσπερ παρ' Ἡροδότῳ. Διὸ καὶ ὁ μὲν Κοϊντιλιανὸς (4, 2, 117) γέγραφεν, ὅτι περιβολή ἐστιν oratio tincta sensu, ὁ δὲ Ἐρνέστος circumducta, exaggerata, καὶ ἀφῃρημένως circumductio, amblificatio, accumulatio, ἤτοι λόγος ἐμπερίστατος καὶ μεγαλοπρεπὴς καὶ σεμνός, μεστὸς τῶν φυσικῶν τοῦ προφορικοῦ λόγου περιστάσεων, οὐσίας, ποιότητος, αἰτίας, τόπου, χρόνου, τρόπου, πρὸς δὲ καὶ πάσης ἄλλης ἀναγκαίας ἢ καὶ ἐνδεχομένης λεπτομερείας κατά τε τὰ γένη καὶ εἴδη εὐκρινῶς. Ἐπὶ παραδείγματι ὁ μὲν Οὐλπιανὸς (περὶ τοῦ στεφάνου § 211), χρωμένου Δημοσθένους παρεκβάσει ἢ ἐπεισοδίῳ, φησὶ περιβολὴν εἶναι καὶ τὸ ἀντιστρέφειν τὰ πράγματα καὶ τὰ δεύτερα πρῶτα λέγειν· ὁ δ' Εὐστάθιος παρεκβολαῖς (Ὀδ. Α΄ 1406) περιβάλλειν ἐστὶ τὸ περιττὰ τιθέναι, ὅθεν καὶ περιβολή, λόγου ἰδέα, καὶ λόγος ἐμπερίβολος, καὶ αὐτόθι πάλιν 1444 τὸ Ὁμηρικὸν χωρίον (Ὀδ. Β΄ 270—280), οὗ ἡ ἀρχὴ οὐδ' ὄπισθεν κακὸς ἔσσεαι «στρυφνότερον προῆκται κατ' ἀντιθετικὴν ἀκολουθίαν, ἔχει δέ τινα καὶ ἕτερα ἐμπερίβολα, οἷον νοήματος μετάταξιν τοῦ κατ' ἀρχήν», ἐννοῶν καὶ ὑστερόπρωτον ἢ πρωθύστερον præposterum) σχῆμα, καὶ ὑστερολογίαν καλουμένην. Περὶ περιβολῆς διδάσκει ὁ Ἑρμογένης περὶ ἰδεῶν I, p. 124 καὶ δὴ ὁ Ἀριστείδης περὶ πολιτικοῦ καὶ ἀφελοῦς λόγου, οὓς ἐχέτωσαν πρὸ ὀμμάτων καὶ καθηγηταὶ καὶ μαθηταί, ἐπεξεργαζόμενοι καὶ πλατύνοντες ἄλλα τε καὶ τὰ παράλληλα Δημοσθένους, Ἀριστείδου καὶ Ἱμερίου διὰ σχημάτων περιβλητικῶν, σημαινόντων καὶ πάντα ῥητορικὸν κόσμον καὶ τὴν

διάνοιαν ὀξυνόντων, εἴ πέρ τι καὶ ἄλλο τῶν μαθημάτων.

Καθ' ὅσον καὶ ὁ Ἱμέριος τὸν Δημοσθένους χαρακτῆρα μᾶλλον ἢ τὸν τοῦ Ἀριστείδου μιμησάμενος φαίνεται ἐν ταῖς Ἐκλογαῖς, ἐν ᾧ ἐν τοῖς λόγοις ἰδίᾳ πρὸς Ἀριστείδην κλίνει, ἑπόμενος ἔτι μᾶλλον τοῦ μὲν Δημοσθένους τῷ περὶ τοῦ στεφάνου καὶ τῷ περὶ τῆς παραπρεσβείας καὶ τοῖς Φιλιππικοῖς, τοῦ δὲ Ἀριστείδου τῷ Παναθηναϊκῷ καὶ τοῖς πρὸς Πλάτωνα περὶ τῶν τεττάρων καὶ τοῖς Λευκτρικοῖς (Εὐσταθίου Μυριοβίβλῳ) κώδικι (LXV).



B.

ΠΑΡΑΛΛΗΛΑ ΧΩΡΙΑ

ΔΗΜΟΣΘΕΝΟΥΣ, ΙΜΕΡΙΟΥ ΚΑΙ ΑΡΙΣΤΕΙΔΟΥ.

Α'

Παραβολὴ παραλλήλων Δημοσθένους καὶ Ἱμερίου.

α'.

Δημ. Φιλ. Α'. 9.

«Ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα, οἷ προελήλυθεν ἀσελγείας ἄνθρωπος (Φίλιππος), ὃς οὐδ' αἵρεσιν ὑμῖν δίδωσι τοῦ πράττειν ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ καὶ λόγους ὑπερηφάνους, ὥς φασι, λέγει, καὶ οὐχ οἷός ἐστιν ἔχων ἃ κατέστρεπται μένειν ἐπὶ τούτων, ἀλλ' ἀεί τε προσπεριβάλλεται καὶ κύκλῳ πανταχῇ μέλλοντας ἡμᾶς καὶ καθημένους περιστοιχίζεται».

Ἱμερ. ἐκλογ. α'. § 3.

«Ὁ δὲ (Φίλιππος) ἐπὶ τοὺς βαρβάρους ἐτράπετο πρότερον, καὶ τὴν ἐκεῖ κενώσας ἤπειρον, ἐπὶ τὰ καίρια μέρη λοιπὸν τῆς πόλεως καὶ τῶν Ἑλλήνων ἐφέρετο, πανταχόθεν ἡμᾶς περιστοιχιζόμενος κατὰ τοὺς δεινοὺς τῶν θηρατῶν, οἳ τοσοῦτον φείδονται τῶν θηρίων, ὅσον ἔτι παρασκευάζονται».

β'.

Δημ. Ὀλυνθ. Γ'. 36.

«Καὶ οὐχὶ μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ

Ἱμερ. ἐκλ. 1. § 9.

«Οἱ Μακεδόνες ἐπιπολάζουσι τοῖς πράγμασιν, οἱ πρό-

ὑμῶν, ἀλλὰ καὶ ἡμᾶς ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτ' ἐφ' οἷς ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον».

σθεν ἀγαπητῶς μετὰ τῶν φόρων σωζόμενοι· παρωσάμενοι δὲ τῆς ἀρχῆς τὴν ἡμετέραν πόλιν, αὐτοὶ παρέδυσαν εἰς τὴν τάξιν ἐκείνην, ἐφ' ἧς ἡμᾶς οἱ πρόγονοι κατέλιπον».

γ'.

Πρὸς τὴν ἐπιστολὴν Φιλίππου 15.

«Παρά τε τῶν προγόνων ἐκ πλείονος χρόνου παρειλήφαμεν τὴν εὐδαιμονίαν οὐ τούτων μόνον, ἀλλὰ συνελόντι φράσαι πάντων τῶν ἐν Μακεδονίᾳ βασιλευσάντων.

Κἀκεῖνοι μὲν Ἀθηναίοις φόρους ἤνεγκαν, ἡ δ' ἡμετέρα πόλις οὐδενί πω τῶν ἁπάντων».

Ἱμερ. ἐκλ. 1. § 9.

Οἱ Μακεδόνες ἐπιπλάζουσι τοῖς πράγμασιν, οἳ πρόσθεν ἀγαπητῶς μετὰ τῶν φόρων σωζόμενοι...

δ'.

Δημ. Παραπρ. 337—8.

Ἐμοὶ δὲ δοκεῖτ' ἀτοπώτατον ἁπάντων ἂν ποιῆσαι, εἰ, ὅτε μὲν τὰ Θυέστου καὶ τῶν ἐπὶ Τροίᾳ κακὰ ἠγωνίζετο, ἐξεβάλλετ' αὐτὸν καὶ ἐξεσυρίττετ' ἐκ τῶν θεά-

Ἱμερ. Ἐκλ. 1. § 12.

«Στηλίτην παρὰ τῷ θεῷ γινόμενον ὑφορῶμαι Αἰσχίνην. Ταράσσει γάρ με τὸ δρᾶμα τὸ Φωκικόν, ὅπερ οὐκ ἐπὶ σκηνῆς ἡμῖν, ἀλλ' ἐπὶ τῆς ἀληθείας αὐτῆς ὁ θαυ-

τρων καὶ μόνον οὐ κατελεύεθ' οὕτως, ὥστε τελευτῶντα τοῦ τριταγωνιστεῖν ἀποστῆναι· ἐπειδὴ δ' οὐκ ἐπὶ τῆς σκηνῆς, ἀλλ' ἐν τοῖς κοινοῖς καὶ μεγίστοις τῆς πόλεως πράγμασι μυρία εἴργασται κακά, τηνικαῦθ' ὡς καλὸν φθεγγομένῳ προσέχοιτε (Αἰσχίνῃ)».

μαστὸς οὗτος τριταγωνιστὴς ἐπεδείξατο».

ε'.

Δημ. Φιλ. Β'. 23—24.

«Ἔστι τοίνυν, νὴ Δία, ἔφην ἐγώ, παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα καὶ τείχη καὶ τάφροι καὶ τἆλλ' ὅσα τοιαῦτα. Καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα καὶ δαπάνης προσδεῖται· ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν αὑτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μὲν ἐστ' ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸ τοὺς τυράννους. Τί οὖν ἐστι τοῦτο; ἀπιστία. Ταύτην φυλάττετε, ταύτης ἀντέχεσθε. Ἂν ταύτην σώζετε, οὐδὲν μὴ δεινὸν πάθητε.

Ἱμερ. Ἐκλ. 5. § 11.

«Μὴ σπένδεσθαι βαρβάροις, μισεῖν τὸ γένος ὡς ἀλιτήριον, ἀδιάλλακτον ἡγεῖσθαι τὸν πρὸς ἀλλήλους πόλεμον, καὶ μάλ' εἰκότως· οὓς γὰρ τῇ φύσει πολεμίους ἐνόμιζον, παρὰ τούτων ἀεί τι κακὸν προσδοκήσαντες, νόμῳ τὸ μὴ παθεῖν ἐφυλάξαντο, μέγιστον εἶναι τῆς πόλεως φυλακτήριον τὴν ἀπιστίαν τὴν πρὸς αὐτοὺς ἡγησάμενοι.»

ς'.

Δημ. Παραπρ. 248.

«Τούτων οὐδὲν Αἰσχίνης εἶπε πρὸς αὐτὸν ἐν τῇ πρεσβείᾳ, ἀλλ' ἀντὶ μὲν τῆς πόλεως τὴν Φιλίππου ξενίαν καὶ φιλίαν πολλῷ μεῖζον ἡγήσαθ' αὐτῷ καὶ λυσιτελεστέραν, ἐρρῶσθαι πολλὰ φράσας τῷ σοφῷ Σοφοκλεῖ, τὴν δ'ἄτην ὁρῶν, τὴν ἐπὶ Φωκέας στρατείαν, οὐ προεῖπεν, οὐδὲ προεξήγγειλεν, ἀλλὰ τοὐναντίον συνέκρυψε καὶ συνέπραξε καὶ τοὺς βουλομένους εἰπεῖν διεκώλυσεν.»

Ἱμερ. Ἐκλ. 1. § 11.

«Καὶ τίς οὐκ οἶδεν ὡς ἐκεῖνοι πάλαι τοῖς παρ' ἡμῖν νομοθέταις ἐρρῶσθαι φράσαντες, πολλὰ μὲν χαίρειν Σόλωνι καὶ Δράκοντι καὶ τοῖς ἄλλοις εἰπόντες ἅπασι, τὸ Μακεδόνων χρυσίον καὶ τὴν Φιλίππου φιλίαν νόμους καὶ πατρίδα καὶ πολιτείαν καὶ πάντα τὰ τιμιώτατα νομίζουσιν.»

ζ'.

Δημοσθ. αὐτόθι. Μειδ. 39.

«Ὁ πληγεὶς (ἐκεῖνος θεσμοθέτης τις) ὑπὸ τοῦ Πολυζήλου, ταὐτὸ τοῦτο, ἰδίᾳ διαλυσάμενος, ἐρρῶσθαι πολλὰ τοῖς νόμοις εἰπὼν καὶ ὑμῖν, οὐδ' εἰσήγαγε τὸν Πολύζηλον.»

Ἱμερ. αὐτόθι.

«Ἐκεῖνοι τοῖς παρ' ἡμῖν νομοθέταις ἐρρῶσθαι φράσαντες, πολλὰ μὲν χαίρειν Σόλωνι καὶ Δράκοντι καὶ τοῖς ἄλλοις εἰπόντες ἅπασιν..»

η'.

Δημ. Στεφ. 245.

«Ταῦτ' οὖν ἀπαιτεῖς παρ' ἐμοῦ, καὶ οὐκ αἰσχύνει τὸν αὐτὸν εἴς τε μαλακίαν σκώ-

Ἱμερ. Ἐκλ. 1. § 13.

«Ἀλλ' ὅμως καὶ τούτων οὕτως ἐχόντων, εἰρωνεύονται τὸν ἄνθρωπον (Δημοσθένην)

πτων καὶ τῆς τοῦ Φιλίππου δυνάμεως ἀξιῶν ἕνα ὄντα κρείττω γενέσθαι;»

καὶ τὸν Πεισίστρατον (Δημοσθένην ὡς δῆθεν τυραννιῶντα) πολλάκις παραφέρουσι καὶ οὐκ αἰσχύνονται νῦν μὲν εἰς τὴν δειλίαν καὶ μαλακίαν σκώπτοντες, νῦν δὲ μὴ τυραννήσῃ τῆς πόλεως δεδιότες.»

θʹ.

Δημ. Παραπρ. 273.

«Ἅπαντες εὖ οἶδ' ὅτι τὸν λόγον τοῦτον ἀκηκόατε, Καλλίαν τὸν Ἱππονίκου τὴν ὑπὸ πάντων θρυλουμένην εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον ἡμέρας πεζῇ μὴ καταβαίνειν ἐπὶ τὴν θάλατταν βασιλέα, ἐντὸς δὲ Χελιδονέων καὶ Κυανέων πλοίῳ μακρῷ μὴ πλεῖν, ὅτι δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας μικροῦ μὲν ἀπέκτειναν (οἱ πρόγονοι), ἐν δὲ ταῖς εὐθύναις πεντήκοντ' ἐπράξαντο τάλαντα.»

Ἱμερ. Λόγ. 2. § 29.

Αἱ μὲν (τὰ μέν, τρόπαια) εἰσι καὶ τύχης ἔργον πολλάκις· τὸ δὲ ἑκόντα συγχωρῆσας βασιλέα τῇ πόλει, ἵππου μὴ δρόμον ἡμέρας ἀφέξειν θαλάττης ἄνω, εἴσω δὲ Χελιδονέων καὶ Κυανέων μὴ πέμψειν ὁλκάδα, πῶς οὐ καθαρὰν πανταχόθεν τῇ πόλει προξενεῖ τὴν εὔκλειαν;

ιʹ.

Δημ. Φιλ. Γʹ. 27.

«Αἱ δ' ἐν τῇ Εὐβοίᾳ πόλεις οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτ' ἐν νήσῳ πλησίον Θηβῶν καὶ Ἀθηνῶν; οὐ διαρ-

Ἱμερ. 1. § 3.

«Ἐκίνησε δὲ ἡμᾶς οὐδέν, οὐδὲ ἀντιλαβέσθαι τῶν πραγμάτων ἠνάγκασεν, οὐ διορυττομένη Πελοπόννησος, οὐ τὸ

ρήδην εἰς τὰς ἐπιστολὰς γράφει, «ἐμοὶ δ' ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ βουλομένους;» καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς δ' ἔργοις οὐ ποιεῖ, ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται, πρότερον ἧκεν ἐπ' Ἀμβρακίαν, Ἦλιν ἔχει, τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ, Μεγάροις ἐπεβούλευσε πρώην, οὔθ' ἡ Ἑλλάς, οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου.»

πτῶμα τὸ Φωκικόν, οὐχ Εὔβοια μετὰ τῶν τροπαίων τῶν Μηδικῶν τυραννουμένη, οὐχ Ἀρκαδία δουλεύουσα, οὐ τὰ Ἠλεῖα δυστυχήματα· ἀλλὰ καὶ Χερρόνησον πειραζομένην ἐπείδομεν, καὶ τὸν Ἑλλήσποντον ἀλλοτριούμενον ὁρῶντες ἐμέλλομεν.»

ια'.

Δημ. περὶ Στεφ. 88.

«Τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους;»

Δημ. Φιλιπ. 3, 18.

«Τῷ τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι.»

Ἱμερ. αὐτόθι.

«Καὶ τὸν Ἑλλήσποντον ἀλλοτριούμενον ὁρῶντες ἐμέλλομεν.»

ιβ'.

Δημ. Φιλ. Γ'. 35.

«Ταῦτα πάσχοντες ἅπαντες μέλλομεν καὶ μαλκίομεν καὶ πρὸς τοὺς πλησίον βλέπομεν.»

Ἱμερ. αὐτόθι.

«Ὁρῶντες ἐμέλλομεν.»

ιγ'.

Δημ. Ἀλον. 6.

«Τί οὖν αὐτῷ (Φιλίππῳ)

Ἱμερ. Ἐκλ. 1. § 10.

«Τίς νόμος κατήγαγεν ἐπ

διαφέρει ;»

θάλατταν Φίλιππον καὶ στοιχείου μηδὲν αὐτῷ διαφέροντος, προσάψασθαι κατηνάγκασεν ;»

ιδ'.

Δημ. Στεφ. 137.

«Ὅστις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι συνῄει καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος καὶ πολέμιος τῇ πατρίδι.»

Ἱμερ. Ἐκλ. 2. § 2.

«Κοινολογεῖται μετὰ βῆμα βασιλεῦσιν Αἰσχίνης.»

ιε'.

Δημ. κατὰ Λιβάνιον 16, σ. 452. (α)

(α) Προγυμνασμάτων καὶ μελετῶν Λιβανίου Σοφιστοῦ ἐκδ. Παρισίων 1606.

«Ἀλλ' ἐξεδόθην δυστυχής, βοῶν τὸν Σόλωνα καὶ μαρτυρόμενος τοὺς νόμους καὶ καλῶν τοὺς θεούς, εἰς τὴν Ἀκρόπολιν βλέπων.»

Ἱμερ. Ἐκλ. 2. § 6.

«Τὸν Σόλωνα κεκραγώς, τὴν πολιτείαν ἐπιβοώμενος.»

ις'.

Δημ. Φιλ. Δ'. 8.

«Ὁρᾶτε Σέρριον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη μετὰ τὴν εἰρήνην, ἃ πολλοῖς ὑμῶν οὐδὲ γνώριμά ἐστιν ἴσως. Ταῦτα

Ἱμερ. Ἐκλ. 2. § 13.

«Πρόσθες, εἰ βούλει, καὶ Φωκέων ὄλεθρον καὶ προδοσίαν Θράκης καὶ ἀναίρεσιν Κερσοβλέπτου καὶ πάνθ' ὅσα πολλάκις Αἰσχίνης ἀδικῶν

μέν τοι τότε ἐαθέντα καὶ παροφθέντα ἀπώλεσε Θρᾴκην καὶ Κερσοβλέπτην, σύμμαχον ὄντα ὑμῶν.»

τὸν δῆμον ἐγκέκληται.»

εζ'.

Δημ. Παραπρ. 259.

«Νόσημα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα καὶ χαλεπὸν καὶ πολλῆς τινος εὐτυχίας καὶ παρ' ὑμῶν ἐπιμελείας δεόμενον.»

Ἱμερ. αὐτόθι.

«Νόσημα γὰρ κατὰ τῶν Ἑλλήνων τῇ φορᾷ τῶν Ἀθηναίων συνήκμασεν.»

εη'.

Δημ. Φιλ. α'. 49.

«Ἐγὼ δ' οἶμαι, ὦ ἄνδρες Ἀθηναῖοι, νὴ τοὺς θεούς, ἐκεῖνον μεθύειν τῷ μέγεθει τῶν πεπραγμένων.»

Ἱμερ. Ἐκλ. 2. 15.

Δεύτερον δὲ ὅτι οἶδεν Ἀλέξανδρος, κἂν εἰ σφόδρα τις αὐτὸν μεθύειν ὑπὸ τῆς εὐτυχίας ὑπείληφεν.

εθ'.

Δημ. Στεφ. 205.

«Ὁ δὲ (γεγενῆσθαι νομίζων) ὑπὲρ τοῦ μὴ τὴν πατρίδα ἐπιδεῖν δουλεύουσαν ἀποθνήσκειν ἐθελήσει.»

Ἱμερ. Ἐκλ. 2. § 14.

«Πρὶν ἰδεῖν τὴν πόλιν δουλεύουσαν.»

κ'.

Δημ. Φιλ. α'. 20.

«Ἔσται δ' αὕτη τίς ἡ δύναμις καὶ πόση;

Ἱμερ. Ἐκλ. 2. § 15.

«Τίς δὲ οὗτός ἐστιν;

κα΄.

Δημ. Στεφ. 170.

«Καλούσης δὲ τῆς πατρίδος τὸν ἐροῦνθ᾽ ὑπὲρ σωτηρίας (ἀνίστατ᾽ οὐδείς)· ἣν γὰρ ὁ κήρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιόν ἐστιν ἡγεῖσθαι.»

Ἱμερ. Ἐκλ. Γ΄. § 9.

Καλοῦμεν ἐπὶ τὸ βῆμα τοὺς ῥήτορας· κἂν ὀκνῇ τις, πολλάκις ἡ κοινὴ φωνὴ τῆς πόλεως ἐπὶ τὸ λέγειν ἐγείρει καὶ τὸν οὐ λέγειν βουλόμενον.

κϐ΄.

Δημ. Στεφ. 289.

Ἀλλ᾽ ἀπ᾽ ὀρθῆς καὶ δικαίας καὶ ἀδιαφθόρου τῆς ψυχῆς..... ὑγιῶς καὶ δικαίως πεπολίτευμαι.»

Ἱμερ. Ἐκλ. 4. § 4.

«Ἀδιάφθορον τὴν ψυχὴν ἔσχηκεν, ἀλλ᾽ οὐχὶ τὴν ἑστίαν ἕξει δι᾽ ἡμᾶς ἀδιάφθορον».

κγ΄.

Δημ. Στεφ. 172.

«Ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη εὔνουν καὶ πλούσιον ἄνδρα ἐκάλει, παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς.»

Ἱμερ. Ἐκλ. 4. § 19.

«Νυνὶ δὲ παρηκολούθηκας ἀριθμῶν μου τὰ δυστυχήματα.»

κδ΄.

Δημ. Στεφ. 43.

«Πάντα ἐκεῖνος (Φίλιππος) ἦν αὐτοῖς (Θετταλοῖς τε καὶ Θηϐαίοις).»

Ἱμερ. Ἐκλ. 5. § 24.

«Πάντα δὲ ἔσται Ξέρξης τῇ πόλει, οἰκιστής, ἀρχηγέτης, τῶν ἐπαίνων, τῶν ἐγκωμίων ὑπόθεσις.»

κε'.

Δημ. Μεγαλ. 19.

«Βουλομένων δὲ γενέσθαι φίλων αὐτῶν, ἵνα τοὐναντίον εὖ ποιῶσιν ἡμᾶς, βασκαίνειν καὶ σκοπεῖν ἐξ ὅτου τρόπου μὴ γενήσονται (ἄτοπον).»

Ἱμερ. Ἐκλ. 3. § 17.

«Κἂκ τίνος τρόπου τῆς θείας ἐκείνης θήρας (ἀρετῆς) ἐγκρατὴς γίνεται;»

κϛ'.

Δημ. περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν 15.

«Οἱ δὲ τοσούτου δέουσι τούτων τι κωλύειν, ὥστε καὶ συγκατασκευάζουσι. Περὶ τῶν ἐν Χερρονήσῳ 70» (τοὺς ἀπολωλεκότας τὰ μέγιστα τῆς πόλεως) ἐγὼ τοσούτου δέω ζηλοῦν, ὥστε.»

Δημ. Φιλ. Γ'. 17.

«Ἐγὼ τοσούτῳ δέω...... Στεφ. 110.... ἀποδοῦναί με δεῖν.»

Ἱμερ. Ἐκλ. 3. § 18.

«Τοσοῦτο γὰρ ἂν δέοι σπουδαῖος ἀνὴρ μεταδιώκειν τὴν τῶν τοιούτων κτῆσιν (χρημάτων καὶ τοιούτων).»

κζ'.

Δημ. Παραπρ. 188.

«Οὕτω τοίνυν αἰσχρὰ καὶ πολλὰ καὶ πάντα καθ' ἡμῶν πεπρεσβευκὼς περιὼν λέγει, τί δ' ἂν εἴποι τις περὶ Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ;»

Ἱμερ. Ἐκλ. 4. § 8.

«Οὕτω τοίνυν πάντα τὰ καθ' ἡμῶν διαπεπραγμένος, περιὼν λέγει· τί δ' ἂν εἴποις περὶ τοῦ πένητος; ὅσα μηδεὶς κωλύει νόμος, κατηγορεῖν ἐθέλει καὶ γράφεσθαι».

κη΄.

Δημ. Στεφ. 299.

«Οὐ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγώ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ τόπους καὶ λιμένας καὶ ναῦς καὶ ἵππους καὶ τοὺς ὑπὲρ τούτων ἀμυνουμένους. Ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς... καὶ τούτοις ἐτείχισα τὴν χώραν.»

Ἱμερ. Ἐκλ. 5. § 41.

«Πότε οὖν ἢ πόθεν ἀνοικιεῖ τις τὴν πόλιν; ὑπέκρουσέ τις· ποίαν γὰρ ἐπιζητεῖς ἔτι πόλιν, τὰς τριήρεις ἔχων τῆς νέας πόλεως, οἰκιστὴν ἔχων τὸν Πύθιον..... Προβάλλετε δὲ αὐτῆς ἀντὶ μὲν τειχῶν τὴν θάλασσαν, ἀντὶ δὲ πύργων τὰς νήσους, ἀντὶ δὲ κόσμου τὰ τρόπαια.»

κθ΄.

Δημ. Στεφ. 136.

«Οὐκ εἶξα οὐδ' ὑπεχώρησα (Πύθωνι), ἀλλ' ἀναστὰς ἀντεῖπον.»

Ἱμερ. Ἐκλ. 2. § 12.

«Οὐκ εἶξε μετὰ Σικελίαν Λακεδαιμονίοις ἡ πόλις.»

λ΄.

Δημ. Χερρ. 60.

«Οἶδε γὰρ ἀκριβῶς, ὅτι δουλεύειν οὐκ ἐθελήσετε.»

Ἱμερ. Ἐκλ. 1. § 5.

«Οἶδε γὰρ ἀκριβῶς....»

Καὶ ταῦτα μὲν τὰ κυρίως παράλληλα Δημοσθένους τε καὶ Ἱμερίου, προκύπτοντα πάντως ἀπὸ τῆς ἀτρύτου μελέτης καὶ τριβῆς καὶ πιστῆς μνήμης Ἱμερίου περὶ ἰδέας καὶ ὅρους Δημοσθενικούς· τάδε δὲ φράσεις εἰσὶ καὶ ὅροι τεχνικοὶ ἢ ῥήματα ἁπλῶς, κοινὰ οὐ μόνον παρὰ Δημοσθένει τε καὶ

Ἱμερίῳ, ἀλλὰ καὶ παρ' ἄλλοις ῥήτορσι καὶ συγγραφεῦσιν Ἕλλησι καὶ Ἑλληνισταῖς. Καὶ δὴ φράσεις ὡς ἔπος εἰπεῖν παρὰ Δημοσθένει (Φιλ. Β'. 1) καὶ Ἱμερίῳ (Ἐκλ. 2. § 8), ἐπὶ τῆς ἀληθείας παρὰ Δημοσθένει (περὶ τοῦ στεφάνου 226) καὶ Ἱμερίῳ (Ἐκλ. 1. § 12), οὐ γὰρ παρὰ Δημοσθένει (αὐτόθι 35) καὶ Ἱμερίῳ (Ἐκλ. 4. § 19)· ὦ 'τᾶν παρὰ Δημοσθένει (αὐτόθι 312) καὶ Ἱμερίῳ (Ἐκλ. 3. § 17)· πρὸς θεῶν παρὰ Δημοσθένει (Ὀλυνθ. Γ'. 17) καὶ Ἱμερίῳ (Ἐκλ. 4. § 26)· ὅροι δὲ καὶ λέξεις παρὰ Δημοσθένει (περὶ τοῦ στεφάνου 286) ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασι καὶ παρ' Ἱμερίῳ (Ἐκλ. 5. § 1) ἐν κοινῷ, παρὰ Δημοσθένει καὶ ἄλλοις, ὡς ἔοικεν, ὡς δ' αὔτως καὶ Ἱμερίῳ (Ἐκλ. 5. § 1), παρὰ Δημοσθένει (αὐτόθι 139) εἰ βούλεσθε, παρ' Ἱμερίῳ δὲ (Ἐκλ. 2. § 13. Ἐκλ. 5. § 11) εἰ βούλει.

Νῦν δ' οὖν μέτιμεν τὰ Αἰλίου Ἀριστείδου παράλληλα καὶ Ἱμερίου, παραπέμποντες πάλιν κατὰ τὰς νεωτέρας ἐκδόσεις τῶν οἰκείων κειμένων.

Β'.

Παράλληλα Ἀριστείδου τε καὶ Ἱμερίου.

α'.

Ἀριστ. Παναθ. 176. «Πρώτη γὰρ ἤνεγκεν ἄνθρωπον καὶ πρώτη πατρίς ἐστιν ἀνθρώπου, καὶ ὅπερ τοῖς πᾶσι ζώοις τοῖς ἐγγείοις ἐστὶν ἡ πᾶσα γῆ, τοῦτο ἥδε νενίκηκεν εἶναι τῷ τῶν ἀνθρώπων γένει, μήτηρ καὶ τροφὸς κοινὴ καὶ τῆς φύσεως ἀφορμή, χῶρός τις ἀνθρώπων ἴδιος ἐκ πάσης γῆς ἐξῃρημένος.»

Ἱμερ. Λόγ. 2. § 3. «Τῇ πόλει δὲ καθαρὸν ἁπανταχόθεν τὸ τῆς εὐγενείας ἐγκώμιον· ὅτι μηδὲ πρὸ Ἀθηνῶν ἑτέρα πόλις ἢ ἄνθρωπος, ἀλλ' ὁμοῦ τὸ συναμφότερον ἡ φύσις ἔδειξεν, ἐπὶ μὲν γῆς πόλιν Ἀθηνᾶς, ἐν δὲ τοῖς ἄλλοις ζώοις τὸν ἄνθρωπον.»

β'.

Ἀριστ. Παναθ. 182. «Τίθησι δὲ καὶ ἀγῶνας πρώτη πόλεων ἁπασῶν... τοιοῦτοι μὲν πρὸς τοὺς δόντας θεοὺς γενόμενοι, οὕτω δ' αὖ καὶ τοῖς ἄλλοις ὁμιλήσαντες ἀνθρώποις (πρβλ. αὐτόθι Ἐλευσ. § 450).»

Ἱμερ. Λόγ. 2. § 6. «Οὔπω πανηγύρεις ἠθροίζοντο· καὶ συνήγαγεν ἡ πόλις πρώτη, καὶ πάσας συναγαγεῖν ἐπέταξεν.»

γ'.

Ἀριστ. Παναθ. 184. «Ἵππων ἁμιλλητηρίων καὶ πολεμιστηρίων ἔφηνεν (Ἀθηνᾶ) σχήματα· καὶ ζεύγνυσιν ἐν τῇδε τῇ γῇ πρῶτος ἀνθρώπων ὁ τῆσδε τῆς θεοῦ πάρεδρος ἅρμα τέλειον σὺν τῇ θεῷ καὶ φαίνει πᾶσι τὴν τελείαν ἱππικήν· ἐπὶ δὲ τούτοις χορεῖαι καὶ τελεταὶ καὶ πανηγύρεις ἐπεκράτησαν ἄλλαι δι' ἄλλων θεῶν ἐπιδημίας.»

Ἱμερ. Λόγ. 2. § 6. «Ἵππων χρῆσιν οὐκ ἠπίστατο (ἡ πόλις)· μερίζει πρώτη τοὺς ἄθλους καὶ πολέμων χρείαν τὴν ἵππων γένεσιν.»

δ'.

Ἀριστ. Ἐλευσ. 450. «Δήμητρα δ' ἐπέρχεσθαι γῆν πᾶσαν καὶ θάλατταν ζητοῦσαν τὴν θυγατέρα, τέως μὲν οὐχ οἵαν τε εἶναι εὑρεῖν, ἐλθοῦσαν δ' εἰς Ἐλευσῖνα τήν τε ἐπωνυμίαν δοῦναι τῷ τόπῳ καὶ τὴν κόρην εὑροῦσαν ποιῆσαι τὰ

μυστήρια· καὶ γενέσθαι δὴ τὸν σῖτον παρὰ μὲν ταῖν θεαῖν τοῖς Ἀθηναίοις, παρὰ δὲ τῶν Ἀθηναίων καὶ Ἕλλησι καὶ βαρβάροις.»

Ἱμερ Λόγ. 2. § *5.* «Ἐπλανᾶτο Δημήτηρ κατὰ τῆς ὑφ' Ἡλίῳ πάσης, ὡς λόγος, τὴν ἁρπαγὴν τῆς κόρης μεταδιώκουσα· γῆν δ' ἐπελθοῦσα πᾶσαν καὶ θάλασσαν, ὡς κατ' Ἐλευσῖνα γίγνεται, τῆς τε πλάνης ἔστη, καὶ τὴν ζητουμένην κομίζεται· μισθοὺς δὲ ἀμφοτέρων εἰσφέρουσα, τοῖς τὴν πλάνην τῆς θεοῦ τῶν ἡμετέρων λύσασι καρποὺς χαρίζεται καὶ μυστήρια, ὧν τοῖς μὲν τὴν τροφήν, τοῖς δὲ τὴν γνώμην ἡμέρωσεν. Ἡ μὲν δὴ πρώτη μεγίστη χάρις εἰς πάντας ἀνθρώπους τῆς ἡμετέρας πόλεως ἐντεῦθεν τὴν ἀρχὴν εἴληφεν.»

ε'.

Ἀριστ. Παναθ. 184. «Λαβοῦσα δὲ τὰς ψήφους ἡ θεὸς τὴν ἐπωνυμίαν τῇ πόλει δίδωσιν, ὡς ἑαυτῆς οὔσῃ.»

Ἱμερ. Λόγ. 2. § *7.* «Παυθείσης δὲ οὕτω τῆς κρίσεως, ἡ μὲν θεὸς τὴν δίκην λαμβάνει παρὰ τῆς πόλεως, παρὰ τῆς θεοῦ δὲ ἡ πόλις τοὔνομα.»

ς'.

Ἀριστ. Παναθ. 180—187. «Νῦν δὲ παντοδαπῶν ἐπιόντων, ἀκόλουθον ἴσως ἐστὶ λέγειν, ὧν μέρος ἐγγέγραπται τοῖς εἰρημένοις, ὅσῃ τινὶ καὶ οἵᾳ τῇ περιουσίᾳ τῆς φιλανθρωπίας εἰς ἅπαντας ἐχρήσαντο καὶ ὅπως εἰς τὸ κοινὸν ἐπολιτεύσαντο· ἄνειμι δὲ κἀνταῦθα μικρόν. Ὥσπερ γὰρ τοῖς θεοῖς οὐκ ἀπέχρησε δι' ἑνός τινος τρόπου τὴν εὔνοιαν ἐνδείξασθαι τῇ πόλει, οὕτως οὐδ' ἐκεῖνοι τοῦ σίτου τὴν κοινωνίαν τοῖς ἀνθρώποις ἔκριναν ἐξαρκεῖν, ἀλλ' ὁδῷ προῄεσαν αὔξοντες τὴν φιλοτιμίαν, ὥσπερ οἱ τὰ σπέρματα. Μεγίστη δὲ καὶ κοινο-

τάτη τῶν εὐεργεσιῶν ἡ τῶν πανταχόθεν δυστυχούντων ὑποδοχὴ καὶ παραμυθία.»

Ἱμερ. Λόγ. 2. § 9. «Ἄξιον δὲ ἴσως πρότερον τῶν τροπαίων, τὴν φιλανθρωπίαν θαυμάσαι τῆς πόλεως, καὶ ὡς προὔστη πάντων τοῦ γένους, δεχομένη μὲν τοὺς δυστυχοῦντας, οἵ παρ᾿ ἑτέρων ἠλαύνοντο, εἰς δὲ τὴν ὑπερορίαν πάλιν ἐκπέμπουσα τοὺς ἤδη τύχης ἐφιεμένους ἀμείνονος.»

ζ'.

Ἀριστ. Παναθ. 194. «Καὶ πρῶτον μὲν τὴν ἐπικειμένην ἐκάθηρε θάλατταν, ἔοικα δὲ οὐ τὸ πρῶτον λέγων τῶν ἔργων, καὶ τῆς Ἑλλάδος, ὥσπερ λήμην, ἀφεῖλε, τοὺς ἐπὶ τῶν προθύρων ὀχληροὺς ἀναστήσασα, λέγω τὸ λῃστρικὸν ἅπαν καὶ βαρϐαρικὸν καὶ καταναγκάσασα ὡς πορρωτάτω τῆς Ἑλληνικῆς παραλίας καὶ τῶν εἴσπλων ἀποχωρῆσαι· ἐξ ὧν ὁ τῶν νήσων κύκλος ᾠκίσθη βεβαίως.»

Ἱμερ. Λόγ. 2. § 11. «Τὰς μὲν δὴ νήσους ἡμέρωσάν τε καὶ ᾤκισαν καὶ τὸ λῃστρικὸν ἐξεκάθηραν.»

η'.

Ἀριστ. Παναθ. 207. «Τριῶν γὰρ ἐθνῶν τῶν μεγίστων ἐν τοῖς Ἕλλησιν ἐπιθεμένων τῇ πόλει, τὸ μὲν αὐτῷ φυγῆς τιμῆσαν ἀπῆλθε, τὸ Δωρικόν, Βοιωτοὶ δὲ χερσὶν ἡττῶντο, καὶ τῆς αὐτῆς ἡμέρας Εὐϐοεῖς ἐν Εὐϐοίᾳ· τοσοῦτον περιῆν τῇ πόλει.»

Ἱμερ. Λόγ. 2. § 12. «Τοὺς δέ, τρεῖς πολέμους καὶ τούτους Ἑλληνικούς.... Πῶς οὖν ἅπασι τούτοις ἡ πόλις ἀντέστη; Ἔπιπτον Βοιωτοί, Δωριεῖς ἠγάπων σωζόμενοι, Χαλκιδεῖς ἅπαντες ἤγοντο· τρία δ᾿ εἱστήκει τρόπαια..... τὸ γὰρ κατ᾿ Εὐϐοίας καὶ Βοιωτῶν μιᾶς ἦν ἡμέρας τὸ συναμφότερον.»

θ'.

Ἀριστ. Παναθ. 209. «Λαβὼν ταύτην πρόφασιν Δαρεῖος ἡσυχίαν ἄγειν οὐκ ἠδύνατο..... δύο δ' ὡς ἀληθῶς ἦν τὰ κινοῦντα, ἓν μέν, φόβος....., ἕτερον δὲ ἐπιθυμία καὶ πόθος αὐξῆσαι τὴν ἀρχὴν ἐνδόξῳ προσθήκῃ τῇ τοῦ Ἑλληνικοῦ καὶ τῆς Γῆς μὴ διῃρημένως ἄρχειν, ἀλλὰ καὶ πάσης.»

Ἱμερ. Λόγ. 2. § 14. «Τοῦτο βασιλεὺς Δάρειος ἐζήτει Πέρσαις χαρίσασθαι, ἵνα τοσαύτην ἔχῃ βασιλεὺς γῆν, ὁπόσην Ἥλιος ἔπεισιν.»

Ἀριστ. Παναθ. 210. «Ὡς ταυτὸν ὂν εἰπεῖν τὴν Ἀθηναίων πόλιν καὶ τὴν Ἑλλάδα καὶ οὐκ εἰπεῖν μόνον, ἀλλὰ καὶ ἔργῳ συμβαῖνον, πάσας ἔχειν τὰς πόλεις, εἴ τις κατάσχοι ταύτην.»

Ἱμερ. Λόγ. 2. § 16. «Οὐ γὰρ ἦν ἄδηλον, ὡς ὁμοῦ γε τότε ἤρκει ἔχειν τὴν πόλιν καὶ τὸ γένος ὅλον μετὰ τῆς πόλεως.»

ι'.

Ἀριστ. Παναθ. 224. «Ἠναγκάσθη μετρῆσαι τρόπον δή τινα μᾶλλον, ἢ ἀριθμῆσαι τὴν στρατιάν.»

Ἱμερ. Λόγ. 2. § 25. «Στρατόπεδα τῆς ἀριθμοῦ φύσεως κρείττονα.»

ια'.

Ἀριστ. Πλατ. 298. «Πολλὰ δὲ τῶν ἐθνῶν ἐξανηλίσκετο εἰς δεῖπνον τῷ βασιλεῖ.»

Ἱμερ. Λόγ. 2. § 25. «Ἔθνη δὲ δείπνων δαπάνης ἥττονα, βασιλέα δὲ πανταχοῦ μὲν ὄντα τῷ φόβῳ.»

ιβ'.

'Αριστ. Παναθ. 223. «Πολλοῖς δ' ἦν ἀφανὴς ὢν ἧγεν, οὗ γῆς εἴη τὰ νῦν, οὐδὲν δ' ἦν ἔθνος τῶν κατὰ τὴν πορείαν μεῖζον ἢ κρύπτεσθαι.»

'Ιμερ. Λόγ. 2. § 25. «Βασιλέα δὲ πανταχοῦ μὲν ὄντα τῷ φόβῳ, οὗ δὲ γῆς ᾖ, διὰ τὸ πλῆθος λανθάνοντα.»

ιγ'.

'Αριστ. Παναθ. 213. 225. «Οἱ μὲν ἄλλοι πάντες Ἕλ-
» *Πλατ. 279.* ληνες.... ἤδη καθῆντο ἐκπεπληγμένοι.... καὶ τὸ τοσοῦτον τῶν δεινῶν ἀπέχειν νομίζοντες ὅσον τὸν στρατὸν αὐτῶν.»

'Ιμερ. Λόγ. 2. § 26. «Οἱ μὲν ἄλλοι σύμπαντες τοσοῦτον ἔτι τὰ δεινὰ κερδαίνειν ᾤοντο, ὅσον ἀπεῖναι Πέρσας τῶν πόλεων.»

ιδ'.

'Αριστ. Πλατ. 307. «Τέλος δ' ἔδοξεν 'Αθηναίοις τοὺς μὲν δὴ χρησμῳδοὺς χαίρειν ἐᾶν, Θεμιστοκλεῖ δὲ μᾶλλον πιστεῦσαι, ξύλινον μὲν εἶναι τεῖχος τὰς τριήρεις ἐξηγουμένῳ, ἀποκεῖσθαι δέ τι χρηστὸν ἐν τῇ Σαλαμῖνι.»

'Ιμερ. Λόγ. 2. § 28. «Ὦ πυθοχρήστους μάχας νικήσαντες! ὢ θείαν τὴν Σαλαμῖνα ταῖς ὑμετέραις ἀρεταῖς ἀνακηρύξαντες.»

ιε'.

'Αριστ. Παναθ. 294. «Καὶ παρέμεινε μόνη. 'Αλλὰ μὴν τῆς γε εἰρήνης ὅσον τὸ διάφορον· ἡ μέν γε τῆς πόλεως ἐπιτάττει τῷ βασιλεῖ κἀκεῖνόν φησι δεῖν τὸ κελευόμενον ποιεῖν·

οὐ γὰρ ἐᾷ πλεῖν εἴσω Χελιδονέων καὶ Κυανέων, εἰ δὲ ἐπὶ τῇ ἵππῳ μεγαλοφρονεῖς, οὐδὲν μᾶλλον ἐλᾷς ἄχρι θαλάττης, ἀλλ' αὐτῆς, φησί, τῆς ἵππου δρόμον ἡμέρας τῆς θαλάττης ἀποσχήσεις.... Ταῦτα μὲν ἡ τῆς πόλεως εἰρήνη λέγει.... ἆρ' ἴσον τὸ κεφάλαιον, ἢ μικρὸν τὸ διάφορον, ἀλλ' οὐ πᾶν τοὐναντίον;»

Ἱμερ. Λόγ. 2. § 29. «Ἀλλὰ κἂν ταῦτα σιγῇ παρέλθωμεν, κἂν τῆς εἰρήνης τῆς πρὸς βασιλέα γεγενημένης μνημονεύσωμεν· ἣ παντὸς τροπαίου σεμνοτέραν ἔτι τὴν πόλιν ἐργάζεται. Καὶ μάλα εἰκότως· αἱ μὲν γάρ εἰσι καὶ τύχης ἔργον πολλάκις· τὸ δὲ ἑκόντα συγχωρῆσαι βασιλέα τῇ πόλει, ἵππου μὲν δρόμον ἡμέρας ἀφέξειν θαλάττης ἄνω, εἴσω δὲ Χελιδονέων καὶ Κυανέων μὴ πέμψειν ὁλκάδα, πῶς οὐ καθαρὰν πανταχόθεν τῇ πόλει προξενεῖ τὴν εὔκλειαν;»

ιϛ'

Ἀριστ. Πλατ. 310—311. «Συνιδὼν ὁ πάντα ἄριστος ἐκεῖνος, ὡς, εἰ τὸ δίκαιον ἀκριβῶς ἐξετάζοι καὶ στάσις ἐγγένοιτο ὑπὲρ τῆς ἡγεμονίας, ἅπαντ' ἀπολεῖται κακῶς, καὶ οὐχ ἕξουσιν ὅ,τι χρήσονται, πείθει τοὺς Ἀθηναίους ὑφίεσθαι καὶ συγχωρῆσαι τοῖς Λακεδαιμονίοις ἐν τῷ τότε τὴν ἡγεμονίαν, ὑποσχόμενος παρ' ἑκόντων αὐτοῖς τῶν Ἑλλήνων αὐτὴν ἀνακτήσεσθαι. Καὶ οὐκ ἐψεύσατο, σχεδὸν δέ τι καὶ τοὔνομα τῆς ἡγεμονίας, ἀλλ' οὐκ αὐτὴν ἔπεισε παρεῖναι. Ἐπεὶ τό γ' ἀληθὲς εἰπεῖν αὐτοῖς μὲν τὴν ἡγεμονίαν, ἐκείνοις δὲ τὴν ἐπωνυμίαν ἀνέθεσαν.»

Ἱμερ. Λόγ. 14. § 29. «Κατὰ Θεμιστοκλέα τὸν πάνσοφον, ὃς Εὐρυβιάδῃ συστράτηγος ταχθείς, ἡνίκα ἐπὶ Πέρσας ὁ τῶν Ἑλλήνων στόλος ἀνήγετο, τὸ μὲν σχῆμα τῆς ναυ-

αρχίας παρεχώρει τῷ Λάκωνι, ἑαυτὸν δ' ἐπὶ τῆς χρείας ἐδείκνυε τοῖς Ἕλλησι ναυαρχεῖν.»

ιζ'.

Ἀριστ. Λευκτρ. Α'. 103. «Ὥσπερ ἄλλο τι σύμβολον
Ἀσκληπ. 443. αὐτὸ τὸ σχῆμα τῆς ἀτυχίας.»

Ἱμερ. Λόγ. 2. § 2. 8. § 4. «Ἀλλ' ὥσπερ ἄλλο τι σύμβολον, ἐν πᾶσι ταὐτόν, τῆς εὐγενείας ὑπάρχει γνώρισμα.»

ιη'.

Ἀριστ. Πλατ. 298. «Πάντα δὲ ὥσπερ τοῦ Ποσειδῶνος κατιόντος ἐσείετο.»

Ἱμερ. Λόγ. 2. § 23. «Ἀλλ' ἅπαν αὐτῷ συνεκινεῖτο καὶ συνεσείετο, καθάπερ Ποσειδῶνος αὐτοῦ τινάσσοντος τὴν γῆν, ὁρῶ πᾶσαν ταύτην θάλασσαν.»

ιθ'.

Ἀριστ. Παναθ. 171. «Ὥσπερ γὰρ ἐπ' ἀσπίδος κύκλων.»

Ἱμερ. Λογ. 7. § 15. «Καθάπερ ἐπ' ἀσπίδος κύκλου.»

κ'.

Ἀριστ. Παναθ. 263. «Πάντα δὲ ὥσπερ ἄγος καθαίροντες ἐπῆλθον.»

Ἱμερ. Λόγ. 2. § 29. «Ἣν (παραλίαν) ὥσπερ ἄγος καθήραντες οὗτοι σὺν ὅπλοις ἐπήεσαν.»

κα'.

Ἀριστ. Λευκτρ. Ε'. 216. «Δεῖται δὲ ἡλικίας ἡ πόλις.»

Ἱμερ. Ἐκλ. 2. § 6. «Ἕως (ἂν ἔχω) ἡλικίαν ἀκμάζουσαν.»

κϐ'.

'Αριστ. περὶ Εἰρ. Β'. 83. «Περὶ τῆς βώλου καὶ τοῦ ὕδατος ἐλθόντας.»

'Ιμερ. 'Εκλ. 2. § 7. «Τοὺς τὴν βῶλον καὶ τὸν κύαθον αἰτήσαντας τὸ βάραθρον ἀντὶ τῆς ἐκκλησίας ἐδέχετο.»

κγ'.

'Αριστ. Παναθ. 311. «Τῆς ἡγεμονίας ἀπέστησαν Φιλίππῳ.»

'Ιμερ. 'Εκλ. 2. § 11. «'Απέστημεν ἑτέροις τῆς ἡγεμονίας.»

κδ'.

'Αριστ. Πλατ. 281. «Παραχωρῆσαι τοῦ πατρίου σχήματος.»

'Ιμερ. 'Εκλ. 2. § 11. «Παρεχωρήσαμεν τοῦ πατρίου σχήματος.»

κε'.

'Αριστ. Πλατ. 288. «Δᾶτις τῷ βασιλεῖ διακονῆσαι τὰ ἐπεσταλμένα ;... »

'Ιμερ. 'Εκλ. 2. § 19. «Ὅτε βασιλεῖ τὰς ὑποσχέσεις διακονούμενος... »

κϛ'

'Αριστ. Παναθ. 315. «Ὥσπερ ὅρον τινὰ παιδείας.»

'Ιμερ. 'Εκλ. 2. § 5. «Ἠσχύνθη τοῖς ἀρχαίοις ἐμμεῖναι φιλοσοφίας ὅροις 'Επίκουρος.»

κζ'.

Ἀριστ. Πλατ. 367. «Οὐχ ὁμολογεῖ ταῦτα ἐκείνοις. Ὁμολογείσθω τοῦτο.»

Ἱμερ. Ἐκλ. 3. § *6.* «Ποῦ γὰρ ὁμολογεῖται ταῦτα;»

κη'.

Ἀριστ. Πλατ. 239. «Ὡς ἄρα οὐ λίθοι, οὐδὲ ξύλα, οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἶεν.»

Ἱμερ. Ἐκλ. 5. § *32.* «Ἄνδρες γάρ, φησίν, αἱ πόλεις, οὐκ οἰκοδομήματα.»

κθ'.

Ἀριστ. Παναθ. 165. «Ὥσπερ τῶν ἄλλων ἁπάντων ἡγεμὼν τοῖς Ἕλλησιν, οἶμαι δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις γεγένηται.»

Ἱμερ. Λόγ. 2. § *4.* «Τούτων ἁπάντων δικαίως ἂν ἡγεμὼν ἡ πόλις ἡμῶν ἐπιφημίζοιτο.»

λ'.

Ἀριστ. Παναθ. 184. «Αὖθις δὲ ὅπλων τὴν χρῆσιν διδάξασα καὶ κοσμήσασα.»

Ἱμερ. Λογ. 2. § *6.* «Ὅπλα τῶν κινδυνευόντων προὐβάλετο.»

λα'.

Ἀριστ. Παναθ. 177. «Μόνοις δὲ ὑμῖν ὑπάρχει καθαρὰν εὐγένειάν τε καὶ πολιτείαν αὐχῆσαι.»

Ἱμερ Λογ. 2. § *3.* «Τῇ πόλει δὲ καθαρὸν ἁπανταχόθεν τὸ τῆς εὐγενείας ἐγκώμιον.»

λϐ'.

Ἀριστ. Παναθ. 184. «Ἐν τῇδε τῇ πόλει τὰς κρίσεις ἐποιήσαντο (οἱ θεοί).»

Ἱμερ. Λόγ. 2. § 8. «Τοῖς παρ' ἡμῖν δικαστηρίοις ἐκέχρηντο.»

λγ'.

Ἀριστ. Παναθ. 224. «Ἣ (πόλις), θορύβου τοσούτου διὰ γῆς ἁπάσης καταρραγέντος καὶ τῶν ἠπείρων ἀμφοτέρων κρινομένων ἐπὶ τῆς Ἑλλάδος, ἀντέσχεν.»

Ἱμερ. Λόγ. 2. § 26. «Τοσούτου τοίνυν θορύβου διὰ πάσης γῆς ἠχήσαντος καὶ κρινομένων ἐπὶ τῆς Ἑλλάδος τῶν ὅλων.»

λδ'.

Ἀριστ. Παναθ. 183. «Νομίσαντες (οἱ θεοὶ) χάριεν καὶ κοῦφον ἐπ' ἀμφότερα ἐν τοῖς παιδικοῖς κριθῆναι».

Ἱμερ. Λόγ. 2. § 7. «Οὐ γὰρ δὴ θέμις ὑπὲρ τοιούτων παιδικῶν αἰγίδα κινεῖν ἢ τρίαιναν.»

λε'.

Ἀριστ. Παναθ. 194. «Τὴν θάλατταν ἐκάθηρεν. Εὖ κατεσκεύασε τὴν θάλατταν.»

Ἱμερ. Λόγ. 2. § 11. «Τὰς μὲν δὴ νήσους ἡμέρωσάν τε καὶ ᾤκισαν.»

λϛ'.

Ἀριστ. Πλατ. 297. «Ὁ δὲ Ἥλιος συνεκρύπτετο τοῖς τοξεύμασιν.»

Ἱμερ. Λόγ. 2. § *25.* «Τοῦ μὲν γὰρ (Ἡλίου) τοξεύων τὸ φῶς ἀπέκρυπτε (Ξέρξης), τῆς δὲ (θαλάσσης) πλέων τὴν φύσιν ἤμειβε, τῆς δὲ (Γῆς) πεζεύων τὴν χρείαν ἤλεγχεν.»

λζʹ.

Ἀριστ. Παναθ. 226. «Ἡ δὲ εἰς τὴν θάλατταν ἀπεχώρει.»

Ἱμερ. Λόγ. 2. § *27.* «Ὁ μὲν ἔζεύγνυε τὸν Ἑλλήσποντον πόρον, οἱ δὲ πόλιν ἐποίουν τὴν θάλατταν.»

ληʹ.

Ἀριστ. Πλατ. 350. «Ὦ θεία Σαλαμίς. Ὁ μὲν τοίνυν θεὸς θείαν τὴν Σαλαμῖνα προσεῖπεν.»

Ἱμερ Λόγ. 2. § *28.* «Ὦ θείαν τὴν Σαλαμῖνα ταῖς ὑμετέραις ἀρεταῖς ἀνακηρύξαντες.»

λθʹ.

Ἀριστ. Παναθ. 280. «Διέλαβον δὲ τροπαίοις τὸν Ἑλλήσποντον.»

Ἱμερ. Λόγ. 2. § *31.* «Καὶ καθ' Ἑλλήσποντον Ἀθηναίων τὰ μυρία τρόπαια.»

μʹ.

Ἀριστ. Παναθ. 238. «Ἀλλ' οἱ μὲν ὄνομα ἡγεμόνων, οἱ δὲ (Ἀθηναῖοι) ἔργα παρείχοντο.»

Ἱμερ. Λόγ. 14. § *29.* «Ὡς τοὔνομα μὲν τῆς ἡγεμονίας ἐκεῖνον, τὸ δὲ ἔργον τοῦτον παρέχεσθαι.»

μαʹ.

Ἀριστ. Πλατ. 267. «Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι

ποῦ χοροῦ τάξομεν, ἢ τάξιν τίνα; ἢ δῆλον ὅτι τὴν πρὸ τοῦ θεάτρου καὶ οὗ πᾶσιν ἐν καλῷ τῆς θέας ἔσται;»

Ἱμερ. Λόγ. 7. § *15.* «Τὴν τῆς πόλεως δὲ ποῦ χοροῦ τάξομεν; ἢ δῆλον ὅτι ἐν πρώτοις.»

μϐʹ.

Ἀριστ. εἰς Ἐτεωνέα 135. «Τροφὴ δὲ καὶ φύσις ἀξία τῆς γενέσεως.»

Ἱμερ. Λόγ. 15. § *4.* «Τροφῇ τε παραπλησίᾳ τῇ φύσει χρησάμενον.»

μγʹ.

Ἀριστ. Παναθ. 343. «Καὶ τὸ ἔρεισμα καὶ ὅσα τοιαῦτα εἰς τὴν πόλιν ᾖδετο.»

Ἱμερ. Λόγ. 16. § *2.* «Ὡς τῆς Ἑλλάδος εἰπεῖν ἔρεισμα, μικρόν, ὅπερ εἰς τὰς Ἀθήνας ᾖσται Πινδάρῳ.»

μδʹ.

Ἀριστ. εἰς Ἐτεωνέα 138. «Κεφαλὴ πρότερον χαριεστάτη, νῦν ἐν κόνει.»

Ἱμερ. Λόγ. 23. § *7.* «Τίς μὲν κόνις τὰς ἱερὰς ἐκείνας κόμας ἔχει, ἃς Διονύσῳ μετὰ τὴν πρώτην γένεσιν ἔτρεφες;»

μεʹ.

Ἀριστ. Λευκτρ. Ε.ʹ 219. «Ἐξὸν ὅλως φεύγειν τὸ δοκεῖν ἢ τούτους ἢ ʼκείνους κακοῦν.»

Ἱμερ. Ἐκλ. 2. § *23.* Ἵνα γὰρ πεισθῶσι τῷ Σόλωνι, οὐδʼ αὐτὸν ἔφευγον ἀδικεῖν δόξαι τὸν δίκαιον.»

μϛʹ.

'Αριστ. Πλατ. 182. «Οὐκ ἐγχωρεῖ φῆσαί σοί γε μᾶλλον ἢ ἐμοὶ κολακείαν γε ἐπιτηδεύειν.»

'Ιμερ. 'Εκλ 3. § 13. «Οὐ πάντας ἐγχωροῦντος ἑκάστῳ ἀσεβεῖν.»

μζʹ.

'Αριστ. Παναθ. 264. «Κρατεῖν πανταχοῦ καλλίστοις ἁπάντων ἐφοδίοις.»

'Ιμερ. 'Εκλ. 3. § 18. «Εἴπερ κρατεῖ τοῖς ἀμείνοσιν.»

μηʹ.

'Αριστ. Σικελ. 17. «Εἶναι δοκεῖν ποιῶν.»

'Ιμερ. 'Εκλ. 4. § 3. «Ποιῶν δοκοῦν ἀδίκημα εἶναι.»

μθʹ.

'Αριστ. Πλατ. 267. «Ἠξίωσας τιμῆσαι τὸν Περικλέα μερίσας τὰς αἰτίας αὐτῷ.»

'Ιμερ. 'Εκλ. 4. § 18. «Τί δέ με μερίζεις τοῖς ποιηταῖς;»

νʹ.

'Αριστ. Παναθ. 271. «Ὡς μὴ δοκεῖν τύχῃ μᾶλλον ἢ τῷ κρείττονος λόγῳ τὸ ἔργον κριθῆναι.»

'Ιμερ. Λόγ. 7. § 15. «Τὸ κρεῖττον τῇ πόλει.»

ναʹ.

'Αριστ. Λευκτρ. 6ʹ 157. «Δόξαν δὲ οὐ καλὴν ἀργίας οἴσεσθε, ἣν οὐδέσι μᾶλλον τῶν ὄντων προσήκει φυγεῖν, ἤπερ ὑμῖν.»

Ἱμερ. Λόγ. 14. § *16.* «Μηδὲ ἄλλος τις τῶν οἷόν τέ ἐστιν ὄντων ἀξίαν χεῖρα παρασχέσθαι τοῦ παραδείγματος.»

νϐʹ.

Ἀριστ. εἰς βασιλ. 111. «Μικρὸν οἷα πατήρ, μικρὸν δὲ οἷα ποιμὴν τῶν ἄλλων εἰπεῖν εἶναι.»

Ἱμερ. Λόγ. 16. § *2.* «Ὡς τῆς Ἑλλάδος μὲν εἰπεῖν ἔρεισμα, μικρόν, πάσης δὲ τῆς ὑφ' Ἥλιον ἥδιστον ἄγαλμα.»

Γʹ.

Ἐλάττω.

1.

Ἀριστ. Παναθ. 172. «Ἐκόσμει καὶ κατεσκεύαζε τὸν βίον.»

Ἱμερ. Λόγ. 2. § *4.* «Ὁ βίος κεκόσμηται.»

2.

Ἀριστ. Παναθ. 194. «Τὰς νήσους ᾤκισεν.»

Ἱμερ. Λόγ. 2. § *11.* «Τὰς μὲν δὴ νήσους ἡμέρωσάν τε καὶ ᾤκισαν».

3.

Ἀριστ. Πλατ. 515. «Διορύξαι δ' οἰκίαν καὶ ταράξαι καὶ συγκροῦσαι τοὺς ἔνδον πρὸς ἀλλήλους».

Ἱμερ. Ἐκλ. 4. § *9.* «Ἂν διορύττῃ οἰκίας τις.»

4.

'Αριστ. Παναθ. 169. «Τὸν χορὸν ἐξελίττειν.»
'Ιμερ. 'Εκλ. 14. § 27. «Τὸν χορὸν ἐξελίττετε (Μοῦσαι).»

5.

'Αριστ. Παναθ. 254. «Τὴν μάχην κρίνουσιν.»
'Ιμερ 'Εκλ. 5. § 18. «Ἡ ναυμαχία κριθήσεται.»

6.

'Αριστ. Πρεσβ. 6. «Ἀπὸ τοῦ Σιγείου προσβάλλειν.»
'Ιμερ. 'Εκλ. 5. § 6. «Ἀπὸ Βαβυλῶνος προσβάλλεις τῇ τόλει.»

7.

'Αριστ. Σικ. α'. 20. «Φέροντες εἰς τὰ παρόντα.»
'Ιμερ. Λόγ. 20. § 7. «Φέρει πρὸς τὰ παρόντα.

8.

'Αριστ. Παναθ. 211. 216. «Τρόπαια φέροντες ἐν ταῖς ναυσίν.
'Ιμερ. Λόγ. 2. § 19. «Τρόπαια καὶ πέδας ἐφέροντο.»

9.

'Αριστ. Παναθ. 271. «Περιέπλευσαν τὴν Πελοπόννησον.»
'Ιμερ. Λόγ. 2. § 30. «Πελοπόννησον περιπλέοντες.»

10.

'Αριστ. Παναθ. 269. «Ἐνίκων Κορινθίους ἐπὶ Κεχρυφαλίᾳ.»

Ἱμερ. Λόγ. 2. § *30.* «Νικήσαντες Λακεδαιμονίους ἐν Τανάγρᾳ.»

11.

Ἀριστ. Πλατ. 337. «Τῶν Μαραθῶνι κινδυνευσάντων.»

Ἱμερ. Ἐκλ. 2. § *17.* «Οἱ Σαλαμίνιοι κινδυνεύσαντες.»

12.

Ἀριστ. Παναθ. 2. 10. «Τῶν Ἑλλήνων ἑρμηνέα τῷ φύσει πολεμίῳ γίγνεσθαι.»

Ἱμερ. Ἐκλ. 5. § *11.* «Τῇ φύσει πολεμίους.»

13.

Ἀριστ. Πλατ. 310. «Τοὔνομα τῆς ἡγεμονίας.»

Ἱμερ. Λόγ. 14. § *29.* «Τοὔνομα τῆς ἡγεμονίας.»

14.

Ἀριστ. Παναθ. 297. «Τὸν δίκαιον κληθῆναι μόνον (τὸν Ἀριστείδην).»

Ἱμερ. Ἐκλ. 2. § *23.* «Τὸν δίκαιον (Ἀριστείδην).»

15.

Ἀριστ. Πλατ. 357. «Τὴν στήλην καθιέρωσαν Ἀθηναῖοι τῇ θεῷ.»

Ἱμερ. Ἐκλ. 1. § *12.* «Στηλίτην παρὰ τῇ θεῷ γενόμενον (Αἰσχίνην).»

16.

Ἀριστ. Πλατ. 357. «Ἀπεῖπε μὴ κτᾶσθαι χρυσίον.»

Ἱμερ. Ἐκλ. 1. § *11.* «Τὸ Μακεδόνων χρυσίον ὡς πατρίδα νομίζουσιν.»

17.

'Αριστ. Παναθ. 214. «'Εφολκίων τῷ στρατοπέδῳ,»
'Ιμερ. 'Εκλ. 2. 19. «Τοῦ παρεργοῦντος ἐφόλκιον.»

18.

'Αριστ. περὶ τοῦ παραφθεγ. 679. Καὶ ὁ ἀρτιτελὴς μύστης ἀτιμότερος τοῦ πάλαι μύστου.

'Ιμερ. Λόγ. 22. § 8. «Τοὺς ἀρτιτελεῖς τε καὶ νέον πρὸς ἡμᾶς ἥκοντας.»

19.

'Αριστ. Παναθ. 262. «Θαυμαστὴν ἐπεδείξαντο καὶ ὡς ἀληθῶς ἐνόπλιόν τινα καὶ πολέμου χορείαν.»

'Ιμερ. Λόγ. 2. § 20. «Καὶ ἐνόπλιον ἔθεον.»



ΤΥΠΟΓΡΑΦΙΚΑ ΠΑΡΟΡΑΜΑΤΑ

Σελ.	*στίχ.*	*ἀντὶ*	*γράφε*
6	2	ὅς	ὃς
14	26	καὶ οὐκ καὶ	καὶ οὐκ ἐπὶ
39	1	248	284
»	6	μεῖζον	μείζον'
40	14	μὴ	μὲν
42	2	στοιχείου	στοιχείου,

